Item aliud quoddam volumen impressum quotatum 19, cuius titulus : *Astrolabium planum in tabulis magistri Iohannis Angeli* [4].

[1] Cf. supra, p. 132, n. 2.
[2] Cf. supra, p. 133, v. 6.
[3] Cf. *Cat.* V, 1, p. 94, n. 5.
[4] Edidit Erhardus Radolt, Augustae Vindelicorum, 1488; cf. Pellechet, *Incunables des bibl. de France*, I, 1897, p. 163, n° 759.

Cuius sunt quatuor partes : In prima post aliquos prologos ponuntur aliquae tabulae signi et gradus ascendentis qualibet hora atque minuto, aequationes quoque domorum caeli ad medium cuius libet climatis. In secunda describuntur ac depinguntur facies et gradus duodecim cum suis proprietatibus. In tertia post tabulam cuius titulus est : *Tabula morae infantis in utero matris,* ponitur tractatus de nativitatibus secundum Iulium Firmicum. Quarta pars habet tabulas horarum inaequalium dierum et noctium artificialium pro quolibet climate. Subiungitur tractatulus <cuius titulus> est : *Significationes horarum planetarum.* Incipit : *Hora Solis in fortuna est.* De talibus primae tertiae et quartae partis nihil diximus. Caetera in hoc volumine contenta, ac etiam omnia et singula, ut praescripta sunt, doctrinaliter damnavimus atque damnamus.

EXCERPTA EX CODICE 2 (PARIS. 2229)

Quae hic eduntur ita consentiunt cum fragmentis quae ex codice recentiore Laurentiano XXVIII, 32 (saec. XV) edidit Heeger (*De Theophrasti qui fertur* περὶ σημείων libro, Lipsiae, 1889, p. 69 ss.), ut utraque ex ampliore forma horum ominum contracta esse appareant. Caput primum Περὶ τῆς ἐκ τῶν ζώων σημασίας et epilogus (p. 139, v. 28 : Τὰ δὲ σημεῖα κ.τ.λ) cum Laurentiano saepe ad verbum consentiunt, cetera longius ab eo recedunt. Fontes horum praesagiorum de tempestatibus optime indagavit Heeger, qui ea omnia ad librum peripateticum περὶ σημείων redire monstravit, caput autem primum ex *Geoponicis* et Aeliano conflatum esse. Quae singillatim hic adnotare supervacaneum visum est, cum hoc in dissertatione Lipsiensi iam effectum sit.

F. 22. Περὶ τῆς ἐκ τῶν ζώων σημασίας, ὅσα χειμῶνας καὶ εὐδίας καὶ ἀνέμων κινήσεις προσημαίνουσιν.

Αἶγες ἐπειδὰν προσέλθωσιν τῷ σηκῷ δρόμῳ, ἐὰν τροχαλῶς νεμόμεναι πρὸς τοὺς σηκοὺς ἀποβλέπωσιν, χειμῶνα σημαίνουσιν.

Αἶγες κοιμώμεναι ἀθρόαι, ὅσον οὔπω, χειμῶνα παρέσεσθαι δηλοῦσιν.

Ἄρνες καὶ ἔριφοι ἀλλήλοις ἐπισκιρτῶντες καὶ ὑποπηδῶντες φαιδρὰν ἡμέραν σημαίνουσιν.

Βόες, ὁπόταν μέλλῃ ὗειν, ἐπὶ τὴν δεξιὰν πλευρὰν κατακλίνονται· ἐὰν δὲ ἐπὶ τὴν λαιάν, τὸ ἀνάπαλιν.

Βοὸς βοῶντος καὶ τὴν γῆν ὀσφραινομένου, ὗειν ἀνάγκη.

Βόες ἀλλὰ δὴ καὶ πρόβατα πλείω τοῦ δέοντος ἐσθίοντες χειμῶνα δηλοῦσιν.

Γαλαῖ καὶ μῦες τρίζοντες ἰσχυρὸν χειμῶνα σημαίνουσιν.

Γέρανοι ἀπὸ πελάγους ἱπτάμενοι εἰς τὴν γῆν ἰσχυρὸν χειμῶνα δηλοῦσιν· ἡσυχῇ δ' ἐπερχόμενοι, εὐδίαν ἀέρος· ἐὰν δὲ βοῶσιν καὶ καταπέτωνται καὶ ταράσσωνται, χειμῶνα σημαίνουσιν ἰσχυρόν.

1-3 Titulus alia manu — Varias quasdam addidi lectiones ex L(aurentiano) ab Heeger edito. Παρασημειώσεις ἀπὸ τῆς τῶν ἀλόγων ζώων διαθέσεως L (f. 14) 1 ὅσα χειμῶνας corr. : ὅρα χειμῶνος cod. Possis etiam ἆρα χειμῶνας 3 δρομαίως L τροχαλῶς P : τὰ φύλλα νεμόμεναι L 4 ἀποβλέπουσιν P 6 ἐπιπηδῶντες καὶ ὑποσκιρτῶντες L 13 τρύζοντες L 14-15 Leg. ἱπτάμεναι.., ἐπερχόμεναι? 16 καταπέτανται καὶ ταράσσονται P

Ἑρωδιὸς τὰ αὐτὰ ποιεῖν ἔοικεν· καὶ γὰρ βοῶν καὶ ἐκ νεφῶν ἐπὶ θάλατταν ἱπτάμενος ὕδωρ ἐξ οὐρανοῦ σημαίνει.

Ἐν χειμῶνι ᾄσασα γλαὺξ εὐδίαν σημαίνει, ἐπειδὴ κράζουσα ἐν εὐδίᾳ χειμῶνα δηλοῖ.

Κόραξ κροτῶν τὰς πτέρυγας καὶ ἐπιτρόχως φθεγγόμενος χειμῶνα δηλοῖ.

Κολοιοὶ ἱερακίζοντες καὶ πετόμενοι ποῖ μὲν ἀνώτεροι, ποῖ δὲ κατώτεροι, κρυμὸν καὶ ὑετὸν δηλοῦσιν.

Κορώνη ἐπὶ δείπνῳ φθεγγομένη καὶ ἡσυχῇ ἑστῶσα τῇ ὑστεραίᾳ εὐδίαν σημαίνει.

Κορώνη ἄσημον καὶ ἀπηχὲς βάλλουσα τὸ φθέγμα χειμῶνα σημαίνει.

Λέων ἐν τοῖς καρπίμοις χωρίοις ἐπιδημῶν αὐχμὸν δηλοῖ.

Λύκοι φεύγοντες τὰς ἐρημίας καὶ τὰ οἰκούμενα διώκοντες χειμῶνα πεφρίκασιν.

Λαγωοὶ ἐν τοῖς αὐτοῖς τόποις συνιόντες πολλοὶ εὐδίαν σημαίνουσιν.

Νῆτται καὶ αἴθυιαι πτερυγίζουσαι ἰσχυρὸν πνεῦμα δηλοῦσιν.

Ὄρνιθες λευκοὶ πολλοὶ φανέντες χειμῶνα δηλοῦσιν.

Ὄρνιθες ἐκ πελάγους εἰς τὴν γῆν σὺν ὁρμῇ πετόμεναι χειμῶνα μαρτύρονται.

Ὄρνιθες καὶ ἀλεκτρυόνες οἱ ἐθάδες φρυαττόμενοι, πτερυγιζόμενοι καὶ ὑποτρίζοντες χειμῶνα σημαίνουσιν.

Ὄρνιθες λουόμεναι ἀπειλοῦσιν πνεῦμα καὶ ἀνέμων ἐμβολάς.

Ὄρνιθες εἰς ἀλλήλας ἐπερχόμεναι καὶ δι' ἀλλήλων θέουσαι, ἐν χειμῶνι εὐδίαν σημαίνουσιν.

Ὄρνιθες συναθροιζόμεναι περὶ λίμνας καὶ ποταμῶν ὄχθας χειμῶνα σημαίνουσιν.

Ὄρνιθες θαλάττιοι καὶ λιμναῖοι εἰς γῆν ἰόντες χειμῶνα πολὺν σημαίνουσιν.

Ὄρνιθες χερσαῖοι σπεύδοντες εἰς τὰ ἀνώτερα καὶ σιωπῶντες, εὐδίαν σημαίνουσιν.

Περὶ τῶν ἐξ Ἡλίου σημείων.

Ἥλιος ποικίλος ἀπὸ ἀνατολῶν χειμέριος· καθαρὸς εἰσδύς, εὔδιος καὶ τὴν ἔξῆς· ἀκτινώδης, μεσονεφής, χειμέριος· ἐπισπώμενος εἰς ἑαυτὸν τὰς ἀκτῖνας, χειμέριος· μελαινονεφὴς καὶ ἐρυθρὸς φαινόμενος ἢ γινόμενος, ὑετώδης· ἐρυθρονεφὴς ἢ ὑπὸ νεφῶν πεπιεσμένος

1 νέφους L 3-4 ἐπειδὴ... εὐδίᾳ] ἐπ' εὐδίας δὲ κράζουσα L 7-8 ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω L 15 συνερχόμενοι L 20 ἐθάθες ὄρνιθες καὶ ἀλ. L 20-21 πτερυσσόμενοι καὶ ὑποτρύζοντες L 22 λουόμενοι L 23 θέοντες P : τρέχουσαι L 30 Finis capituli in P omissa est. 31 Titulus manu altera 34-35 = *Geopon.* I, 3, 2

μελάνων ἢ ἀνατέλλων ἢ δύνων, ὑετώδης. προανατέλλοντα ἔχων νέφη, ἐὰν ευ... τὸς ἀνάῶ .. μ(εν)ος ἐπανατέλλῃ, ὑετὸν σημαίνει· ἀπὸ μικροῦ ἀνερχόμενος, ἐπ' εὐρύτερον ἐπαυξόμενος κατὰ ἀνατολήν, εὔδιος· προσδύνων, εὔδιος. μετὰ δύσιν ἔχων νέφη, χειμερίαν νύκτα δηλοῖ· μεσονεφὴς δύνων, χειμέριος καὶ ὑετώδης. ὅταν τὰ λεγόμενα παρήλια θεωρηθῇ (ταῦτα δέ ἐστιν νεφέλη πεπυκνωμένη καθ' ὑπερβολὴν καὶ ἐναυγουμένη ὑπὸ τοῦ Ἡλίου), ὅταν ἐπὶ τῶν βορείων μερῶν τὰ παρήλια θεωρηθῇ ἐρυθρά, βορρᾶν προσημαίνει· ὅταν δέ ἐξ ἀμφοτέρων τῶν μερῶν μέσον τὸν Ἥλιον περιέχῃ, ὄμβρον καὶ ἄνεμον προσημαίνει. περὶ τὸν Ἥλιον συνισταμένη ἡ ἅλως, ἐὰν ἱκανὸν ἀπέχουσα ἀπ' αὐτοῦ καὶ μελανίζουσα θεωρωρῆται, χειμῶνα προσημαίνει· ἐὰν δὲ σύνεγγυς ἡ ἅλως ὑπάρχῃ, μείζονα χειμῶνα σημαίνει. ἐὰν δὲ πλείονες ἅλως παρ' αὐτὸν ὑπάρχωσι, ἔτι μείζων ἔσται χειμών. ὑψηλὰ καὶ μικρὰ καὶ πυκνὰ νέφη νότον σημαίνουσιν. κατεξανιστάμενα καὶ ἀνθυπόστροφα καὶ ἀσυνήθη δεικνύμενα ἄνεμον χειμέριον σημαίνουσιν.

Περὶ τῶν ἐκ Σελήνης σημείων.

Τριταία λεπτὴ καὶ καθαρά, εὔδιος. τριταία ἀμφοτέραις ταῖς κεραίαις ἐξ ἴσου φαίνουσα, εὔδιον ἄνεμον δηλοῖ διὰ νυκτός. τριταία λεπτὴ πυρρά, πνεύματα μέλλοντα δηλοῖ. τριταία βόρειον μέρος καθαρὸν ἔχουσα, νότον δηλοῖ. τριταία παχὺ κέρας ἔχουσα καὶ παχεῖα οὖσα, ἢ νότον ἢ χειμῶνα σημαίνει. ἐρυθρὰ ἀνέμων μελλόντων σημεῖον. εὔχρους ἐν πανσελήνῳ, εὐδίαν σημαίνει. μελαινομένη ἐν πανσελήνῳ, ὑετώδης. μέλαινα ἡ ἐν αὐτῇ ἅλως, χειμέριος ἄκρως. † ορυγνυμένη ἡ ἅλως μέλαινα, χειμέριος.

Περὶ ἴριδος.

Τῆς ἴριδος τὸ πυρρὸν πνευμάτων ἐστὶν σημαντικόν. ταύτης τὸ χλωρὸν ἀέρος ἐστὶν σημαντικόν. ταύτης τὸ μελανίζον ὑδάτων ἐστὶν σημαντικόν.

Τὰ δὲ σημεῖα τῶν χειμώνων καὶ τῶν πνευμάτων οὐ κατὰ πᾶσαν ἡμέραν σεσημείωνται, ἀλλ' ὅσα περὶ τὴν τρίτην ἢ τετάρτην τοῦ μηνὸς τῆς Σελήνης ἱσταμένης γίνεται, ταῦτα μέχρι τῆς διχοτόμου σημείωσιν ἔχει. ὅσα δὲ γίνεται διχοτόμου τῆς Σελήνης ὑπαρχούσης

2 Verba obscura. Ante μενος litterae duae erasae 8 cf. Theophrasti frag. VI, 22 17 ss. *Geopon.*, I, 2, 1 20 πυρὰ cod. πνεύματος μέλλοντος cod. 22 σημεῖον scripsi : σημαίνει cod. 23 πασελήνω sic cod. Leg. ῥηγνυμένη ? 25 ss. cf. L(aurentianum) ed. Heeg, p. 71 26 πυρὸν cod. 31 ἱσταμένης L : ἱσταμένω P 32 τὴν παρασεμείωσιν L

σημεῖα, ταῦτα δεῖ προσδέχεσθαι μέχρι τῆς πανσελήνου. ὅσα δὲ περὶ τὴν πανσέληνον προσημαίνεται, ταῦτα ἕως <τῆς> ὀγδόης ἐκ πανσελήνου βλέπε. ὅσα δὲ ἔκτοτε μαραινομένου μηνὸς γίνεται, ταῦτα μέχρι τῆς τρίτης καὶ τετάρτης ἀποτελεῖται. καθόλου γὰρ τὰς πλείστας σημασίας οὕτω λεκτέον, ἢ αὐθημερὸν <ἢ> τῇ ἐρχομένῃ ἢ εἰς τὰς ἑπομένας β′ ἡμέρας, ἐξετάζων δὲ καὶ τὰς κατ' ἐνιαυτὸν ἡμέρας καὶ ἐπισκοπῶν εἴ που ἀνατολὴ ἄστρων ἢ δύσις ἐν ἐκείναις ταῖς ἡμέραις γίνεται, ἐν αἷς καὶ σημάδιά τινος χειμῶνος προδηλοῦται· ἐν αἷς γὰρ ἂν εὕροις τοῦτο, πολὺς μᾶλλον ὁ χειμὼν προσημαίνεται, εἰ μή που τῶν πλανωμένων ἀστέρων τινὲς ἢ <στηρίζ>οντες, ἢ φάσεις ποιούμενοι ἢ ἄλλως σχηματιζόμενοι, τὴν τοῦ ἀέρος κρᾶσιν μετασχηματίζουσιν, ὡς δοκεῖν τισι μὴ ἀκριβῆ τὸν περὶ τῶν σημείων λόγον καταγεγράφθαι. εἰ γάρ τις ἀκριβῶς καὶ τὴν ἐκείνων θεώρησιν ἐπισκοπήσει, θαυμάσει πάντως καὶ τὴν τῶν γεγραμμένων ἀλήθειαν. ὅσον γὰρ τὸ κατὰ δύναμιν ἀνθρώποις ἥκει, σπουδαιότερον ἡ ἐνταῦθα καταγέγραπται παρατήρησις.

1 δεῖ L : δὴ P 2 τῆς suppl. ex L 5 ἢ suppl. ex L 8 σημάδια vox sermonis vulgaris : σημεῖα L 9 εὕρης P : corr. ex L πολὺς L : πολὺ P 10 στηρίζοντες] στηριζ in lac. om. P 11 συσχηματιζόμενοι L 12 τισι L : τινας P 13 θεώρησιν P : θέσιν L.

EXCERPTA EX CODICE 3 (Paris. 2417)

Hephaestionis Thebani capitula selecta.

Donec totum Hephaestionis opus edatur, quod propediem fieri posse opto, capitulis quae iam a Carolo Ruelle in catalogi Parisini parte secunda publici iuris facta sunt, nonnulla alia, eius apographo codicis huius 2417 usus, hic addere statui, quibus nomina vel excerpta antiquorum auctorum traduntur. Haec enim praecipue ad historiam astrologiae cognoscendam maximi sunt momenti.

Ἡφαιστίωνος Θηβαίου βιβλίον δεύτερον.

Ἐφεξῆς ἂν εἴη ἀκόλουθον, τῶν πρώτων καὶ καθολικῶν προεκτεθειμένων ἡμῖν, ὦ σπουδαιότατε τῶν φίλων Ἀθανάσιε, ἐπισυνάψαι καὶ τὸ καθ' ἕκαστον γενεθλιαλογικὸν εἶδος ἐπιμελουμένους καὶ ἐνταῦθα μάλιστα τῆς πείρας τε καὶ συντομίας κατὰ τὸ δυνατόν. τὸ γὰρ πολυμερὲς τῆς θεωρίας ἐνταῦθα ποσῶς ἀναγκάζει πλείοσι χρῆσθαι· καὶ τὰ μὲν οὕτως εὑρεθέντα παρὰ τοῖς ἀρχαίοις αὐταῖς λέξεσιν ἢ καὶ ἐμμέτρως φιλοπονηθέντα φιλαλήθως ἐκτιθέμεθα· τὰ δὲ καὶ εἰς ἡμᾶς ἐλθόντα τῇ τε συνεχεῖ πείρᾳ καὶ παρατηρήσει πλείστων γενέσεων προσθεῖναι πειρασόμεθα τῷ μέρει τούτῳ· καὶ ἄλλος δ' ἄν τις φιλομαθὴς καὶ φιλόπονος ὁρμώμενος ἔκ τε τῶν παλαιῶν συνταγμάτων καὶ τούτων αὐξήσειε ἂν τὴν τέχνην καὶ εὕροι ἂν πάμπολλα ἀληθῆ εἰς πρόγνωσιν τῶν τῷ ἀνθρωπείῳ γένει συμβαινόντων. ἀρξόμεθα δὲ ἐφεξῆς κατὰ τάξιν οὕτως.

I. — Περὶ σπορᾶς καὶ ἐκτέξεως.

Τῶν δὲ ἀνθρώπων τὴν σποράν λέγουσι γίγνεσθαι ἐπὶ μὲν τῶν δεκαμηνιαίων ἐν τῷ εὐωνύμῳ τετραγώνῳ τοῦ τῆς ἀποκυήσεως

P(arisinus 2417), f. 62^{v}, cf. supra, p 15; **A** (= Parisinus) 2841 [22], f. 59^{v} cf. *Cat.* VIII, 2, p. 25. 1 Ἡφαιστίωνος θηβαίου φιλοσόφου περὶ καταρχῶν βιβλίον δεύτερον. A 2 ss. cf. Ptolem. *Tetrab.*, III, 1 5 συντομ... cetera desunt in folio lacero P 8 ἐμμέτροις A 12 αὐξήσει codd., corr. 15 ss. **P**, f. 64^{r}; **A**, f. 59 16 ss. Porphyrii *Introd.*, p. 194 (ed. 1559) Περὶ σπορίμου ζῳδίου Ἡλίου. Cf. Proclum, *In Remp.*, II, p. 59,3 ss. Kroll.

Ἡλίου· ἐκεῖ γὰρ ὄντος Ἡλίου ἡ σπορὰ ἐγένετο· ἐπὶ δὲ τῶν ἑπταμηνιαίων, ἐν τῷ διαμέτρῳ. αὐτῶν δὲ τῶν δεκαμηνιαίων τοὺς μὲν τελεσιουργεῖσθαι τῆς μεγίστης ἀποκυήσεως διὰ ἡμερῶν διακοσίων ὀγδοήκοντα ὀκτὼ καὶ ὡρῶν η′ · τοὺς δὲ τῆς μέσης διακοσίων ἑβδομήκοντα τριῶν καὶ ὡρῶν η′· τοὺς δὲ τῆς ἐλαχίστης διὰ <ἡμερῶν> σνη′ καὶ ὡρῶν η′. τῶν δὲ ἑπταμηνιαίων τοὺς μὲν τῆς μεγίστης ἀποκυήσεως ἡμερῶν εἶναι σϛ′ καὶ ὡρῶν η′· τοὺς δὲ τῆς ἐλαχίστης <ἡμερῶν> ροϛ′ καὶ ὡρῶν η′· τοὺς δὲ τῆς μέσης <ἡμερῶν> ρμα′ ὡρῶν η′ [1].

Οἱ δὲ παλαιοὶ Αἰγύπτιοι οἱ περὶ Πετόσιριν διαβεβαιοῦνται λέγοντες ὡς ὅπου ἡ Σελήνη τυγχάνει ἐν τῇ ἀποκυήσει, ἐκεῖνο τὴν σποράν ὡροσκόπησεν, ὅπου δὲ ἐπὶ τῆς σποᾶς ἔτυχεν, τοῦτο ἐν τῇ ἀποκυήσει ὡροσκοπήσει ἢ τὸ τούτου διάμετρον [2]. τινὲς δὲ καὶ οὕτω λαμβάνουσιν, ὅπερ οὐ πάνυ συμφωνεῖ ἡμῖν· πολυπλασίασον, φασί, τὰς προανηνεγμένας μοίρας τοῦ ὡροσκοποῦντος ἐν τῷ ἀποκυήσει ἐπὶ τὸ πλῆθος τῶν ὡρῶν· καὶ τὰς γενομένας μοίρας ἔκβαλε ἀνὰ τριάκοντα ἀπὸ τοῦ ὡροσκόπου, καὶ ὅπου ἂν ἐκπέσῃ ὁ ἀριθμός, ἐκεῖνο ὡροσκόπησε τὴν τοῦ σπέρματος καταβολήν.

Ἐπὶ δὲ τῆς Σελήνης ἄλλοι μὲν ἄλλα λέγουσιν. Ἀντίοχος δὲ ὁ Ἀθηναῖος λέγει καὶ ταύτην ἔχεσθαι τὴν μέθοδον ἀληθείας τινός. θέασαι, φησί, πόστῃ τῆς Σελήνης ἐγεννήθη τις, καὶ τούτῳ τῷ ἀριθμῷ πρόσθες ἑκατὸν ὀγδοήκοντα, καὶ ἀνθυφαίρει ἀεὶ ἀπὸ τοῦ γενεθλίου μηνὸς ἀνὰ κθ′· εἰς ἣν δ′ ἂν ἡμέραν λήξῃ ὁ ἀριθμός, σκόπει αὐτήν, ποῦ ἦν τότε ἡ Σελήνη· τὸ γὰρ ζῴδιον ἐφ' οὗ πορεύεται νοείσθω ταὐτὸν ὂν καὶ ἐπὶ τῆς συλλήψεως ἔχον τὴν τῆς Σελήνης πάροδον. καὶ αὕτη ἡ μέθοδος ἐπὶ πάντων οὐ συμφωνεῖ. ἐξεθέμεθα δὲ αὐτὴν γυμνασίας χάριν καὶ ὑπὲρ τοῦ ἐκ πολλῶν τὸ αὐτὸ σύμφωνον εὑρεῖν. ὁ μέντοι Ἀντίγονος φαίνεται μὴ ἐσκεμμένος τὴν περὶ τούτων ἀκρίβειαν, διόπερ πάντη ἀποδοκιμάζει. τῶν οὖν προεκτεθειμένων ἡ τῶν παλαιῶν Αἰγυπτίων μέθοδος μᾶλλον τῶν ἄλλων συμφωνεῖ·

1 ἡλίου A : αὐτοῦ P 2 διαμέτρῳ P Porph. : διμοίρῳ A 3-4 διὰ σογ′ ὡρῶν η′ P 4 η′] τριῶν A 5 η′ P : γ′ A ἡμερῶν suppl. Ruelle 6 η′ P : γ′ A 7 η′ P : γ′ A 7 σις′ Proclus 8 η′ P : γ′ A ἡμερῶν suppl. 9 η′ P : γ′ A 10 ss. cf. Porphyr. *Introd.* p. 194 et Hephaest. ed. Engelbrecht, p. 36 10 πετόσειριν A cf. infra l. III, cap. 10 p. 152, 11 12 δὲ omis. A 17 ἔκβαλλε A 21 θεάσαι A 21 πρόσθες — ὀγδοήκοντα evanidum in P ἑκατὸν ὀγδοήκοντα] πρ′ A : πέντε Porphyrius 23 κθ′] ιθ′ Porphyrius 24 ἐφ' οὗ A : ὑφ' οὗ P 26 αὐτὴν corr. : αὐτὰς codd. 28 μέντοι P : μὲν A

[1] Cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 380.

[2] Petosir. fr. 14 Riess. Cf. Proclum, *l. c.*, p. 59, 3 : Οἱ περὶ Πετόσειριν Αἰγύπτιοι καὶ Ζωροάστρης διατείνονται, καὶ Πτολεμαῖος ἀρέσκεται, τὴν μὲν σπορίμην ὥραν γίνεσθαι σελήνης τόπον ἐν ταῖς ἀποκυήσεσι, τὴν δὲ σπορίμην σελήνην ὥραν τῆς ἐκτέξεως.

ὅθεν κατ' αὐτοὺς ἐντέχνως σκέπτου τὸν τόπον τοῦτον οὕτως. ἐπειδὴ γὰρ εὑρέθη, ὡς προεῖπον, τῇ συνεχεῖ πείρᾳ τὸ ὡροσκοποῦν σημεῖον ἐν τῇ ἐκτέξει, τοῦτο τὴν Σελήνην ἐπέχον ἐν τῇ σπορᾷ, ὡς καὶ οἱ παρατηροῦντες τὸν καιρὸν τῆς σπορᾶς καὶ τὴν τότε μοῖραν τῆς Σελήνης τὴν αὐτὴν εὑρίσκουσιν ὡροσκοποῦσαν ἐν τῇ γεννήσει. διὰ τοῦτο ἀναγκαῖον τὸν ὡροσκόπον πρῶτον σκοπῆσαι ἤτοι ἐκ τῶν κανόνων ἢ καὶ μεθοδικῶς ἐκ τῆς προγενομένης συζυγίας τῆς ἐκτέξεως οὕτως· ἀρίθμει ἐπὶ μὲν συνόδου ἀπὸ Ἡλίου ἕως τῆς μοίρας τῆς Σελήνης καὶ τῶν γενομένων μοιρῶν τὸ δωδέκατον λαβών, ἀφαίρει εἰς τοὐπίσω ἀπὸ τῆς ἡλιακῆς, καὶ εἰς ἣν ἂν καταντήσῃ μοῖραν, ἐκείνη ἔγγιστα ἔσται ἡ τῆς προγενομένης συνόδου μοῖρα. εἰ δὲ εἴη ἡ προγενομένη συζυγία πανσέληνος, ὁμοίως ἀρίθμει ἀπὸ τῆς διαμέτρου μοίρας τῷ Ἡλίῳ ἕως τῆς Σελήνης, καὶ τὸ δωδεκατημόριον πάλιν λαβών, κούφισον ἀπὸ τῶν μοιρῶν τοῦ Ἡλίου· καὶ εἰς ἣν ἂν καταλήξῃ μοῖραν, ἐκείνη σύνεγγυς ἔσται ἡ διαμετροῦσα τὴν τῆς προγενομένης πανσελήνου μοῖραν. ἐγνωσμένης δὲ τῆς μοίρας τῆς προγενομένης συζυγίας, δήλη ἔσται καὶ ἡ ἡμέρα ἐν ᾗ γεγένηται <ἐκ> τοῦ πλήθους τῶν μεταξὺ μοιρῶν τῆς συζυγίας καὶ τοῦ γενεθλίου Ἡλίου κουφιζομένων ὀπίσω ἀπὸ τῆς γενεθλίου ἡμέρας, ἑκάστης μοίρας λογιζομένης μία ἡμέρα. τούτων οὕτω γνωσθέντων, ὁ ὡροσκόπος σύνεγγυς δῆλος ἔσται· τὰς γὰρ μεταξὺ μοίρας τῆς προγενομένης συζυγίας καὶ τοῦ γενεθλίου Ἡλίου λογίζου κατὰ τὸ ἑξῆς ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος πρὸς ἕκαστον ζῴδιον μίαν μοῖραν· καὶ εἰς ὃ ἂν καταλήξῃ, ἐκεῖνος ἔσται ὁ ὡροσκόπος. μεθοδικῶς ἐξακριβοῦται δὲ ἀπὸ τῆς γενεθλίου σεληνιακῆς μοίρας.

Ἰστέον δὲ ὅτι ὅταν εὑρεθῇ ἡ Σελήνη ἐν τῇ ἐκτέξει ἐπὶ τοῦ ὡροσκόπου, εἶναί φασι τὸ βρέφος τῆς μέσης ἀποκυήσεως, τουτέστιν ἡμερῶν σογ′ ὡρῶν η′. ἐὰν δὲ εὑρεθῇ ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ὡροσκόπου, ἔσται ὑπὲρ τὴν μέσην ἀποκύησιν. ἐὰν δὲ ἐν τοῖς ἡγουμένοις ζῳδίοις τοῦ ὡροσκόπου εὑρεθῇ, τότε ἔσται ἐλαττόνων ἡμερῶν τῆς μέσης ἀποκυήσεως. ἐὰν οὖν εὑρεθῇ ἡ Σελήνη ἐν τοῖς ἑξῆς ζῳδίοις τοῦ ὡροσκόπου, ἀρίθμει ἀπὸ τῆς μοίρας τοῦ ὡροσκόπου ἐπὶ τὴν Σελήνην καὶ τὰς γενομένας μοίρας μέρισον εἰς τὸ μέσον ἡμερήσιον δρόμημα τῆς Σελήνης, ὅ ἐστι μοιρῶν ιϛ′ λεπτῶν δέκα,

1 τόπον τοῦ τοῦτον P 2 πείρᾳ A : μοίρᾳ P 5 γενέσει A 7 ἢ omis. P μεθοδικῶν codd., corr. 12 προγενομένη P : προσγενομένη A 13 l. τοῦ Ἡλίου ? δωδεκατημόριον A marg. m. 1 : ιβ′ P A in textu 15-16 προγενομένης μοίρας πανσελήνου A 17 γένηται A ἐκ suppl. 22 γενεθλίου om. A 24 εξ. κριβουται (α evanid.) A δὲ omis. A 26 ss. Excerpsit codex B (Parisinus 2506 [= 10] f. 90ᵛ, cap. σλθ′ [cf. supra p. 95]) 26 ἰστέον δὲ ὅτι om. B : ὅτι om. P ἐπὶ P A : ἐκ B 27 φασὶν οἱ παλαιγενεῖς Αἰγύπτιοι B βέφος sic A τουτέ A 28 η′ B : γ′ P A, cf. supra p. 142, 5 33 γινόμενας B ac sic deinceps μοίρας om. B 34 δρόμημα A P : κίνημα B, cf. p. 144, v. 9 μοῖρων om. B δέκα καὶ om. B

καὶ τὰς πρὸς ταῖς ἡμέραις ὥρας περιλειφθείσας μέρισον ὁμοίως εἰς τὸ ὡριαῖον δρόμημα αὐτῆς, ὅ ἐστι λεπτὰ λγ', καὶ τὰς γενομένας ἡμέρας τε καὶ ὥρας πρόσθες ταῖς τῆς μέσης ἀποκυήσεως ἡμέραις σογ' ὥραις η', καὶ τὴν γενομένην ποσότητα κούφισον ἀπὸ τῆς γενεθλίου ἡμέρας εἰς τοὐπίσω, καὶ εὑρήσεις τὴν σπορίμην ἡμέραν. ἐὰν δὲ εὑρεθῇ ἡ Σελήνη ἐν τοῖς προανηνεγμένοις ζῳδίοις τῆς ὥρας ἐν τῇ ἐκτέξει, ἔμπαλιν ποίει· ἀρίθμει ἀπὸ τῆς Σελήνης ἐπὶ τὴν τοῦ ὡροσκόπου μοῖραν, καὶ τὰς γενομένας μοίρας μέρισον ὁμοίως εἰς τὸ μέσον ἡμερήσιον δρόμημα τῆς Σελήνης καὶ ὡριαῖον καὶ τὰς γενομένας ἡμέρας τε καὶ ὥρας κούφισον ἀπὸ τῶν τῆς μέσης ἀποκυήσεως ἡμερῶν σογ' ὡρῶν η', καὶ τὰς ὑπολοίπους ἀπὸ τῆς γενεθλίου ἡμέρας ἀφαίρει, καὶ εὑρήσεις παχυμερῶς τὴν σπορίμην ἡμέραν τε καὶ ὥραν· ὑπὲρ δὲ τοῦ ἀκριβέστερον εὑρεῖν, ἀρίθμει τὴν Σελήνην καὶ τὸν Ἥλιον κατὰ τὴν ἀναφανεῖσαν ἡμέραν τε καὶ ὥραν τῆς σποράς· καὶ ἐὰν εὕρῃς τὴν γενεθλίαν Σελήνην ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ τῆς σποράς Ἡλίου, λέγε τὴν σποράν ἐν ἡμέρᾳ γεγενῆσθαι· ἐὰν δὲ τὴν γενεθλίαν Σελήνην εὕρῃς ἐν τοῖς προανηνεγμένοις ζῳδίοις τοῦ τῆς σποράς Ἡλίου, νόει τὴν σποράν ἐν νυκτὶ γεγενῆσθαι. ἐὰν τοίνυν εὑρεθῇ ἡ σπορὰ ἐν ἡμέρᾳ, ἀρίθμει ἀπὸ τοῦ τῆς σποράς Ἡλίου ἕως τοῦ γενεθλίου Ἡλίου τὰς μεταξὺ μοίρας, καὶ μαθὼν ἐν ποίαις μοίραις ἀναφέρονται κατὰ τὸ οἰκεῖον κλῖμα, μέρισον παρὰ τοὺς ὡριαίους χρόνους τοὺς παρακειμένους τῇ ἡλιακῇ μοίρᾳ ἐκείνης τῆς ἡμέρας, ἣ ἐν ᾗ ἐνέπεσεν ἡ σπορά, καὶ ὅσας ἂν εὑρῇς ὥρας ἢ καὶ μόρια, λέγε ταύτην εἶναι ἀκριβῆ ὥραν τῆς σποράς· καὶ κατ' ἐκείνην τὴν ὥραν ἀρίθμησον τὴν Σελήνην ἀκριβῶς, καὶ ἐφ' ἧς ἐστι μοίρας, αὕτη ἐστὶν ἡ τοῦ ὡροσκόπου ἀκριβὴς μοῖρα τῆς γενέσεως. δῆλον δὲ ὡς καὶ ἡ ὡροσκοποῦσα μοῖρα τῇ ὥρᾳ τῆς σποράς ἡ αὐτὴ ἔσται τῇ τῆς γενεθλίου Σελήνης, καθὼς προείπομεν· ἐὰν οὖν ἐκ τῶν προειρημένων εὑρεθῇ ἡ μοῖρα τῆς σπορίμης Σελήνης σύμφωνος τῇ τοῦ ὡροσκόπου μοίρᾳ, φῶμεν ἀκριβῶς δίδοσθαι τὴν ὥραν τῆς γενέσεως· ἐὰν δὲ παρηλλαγμέναι ὦσιν

1 ὡραῖς B μέσον B 4 ὡρῶν A P 5 γενεθλιακῆς B 7 τοῦ ὡρ(οσκόπου) P : sed ὥρα pro horoscopo dictum 12 γενεθλίου A P : γεννητικῆς B ἡμέρας A P : οὗ sic B πολυμερῶς A 14 τὸν ἥλιον κ. τ. σελήνην B ἀφανεῖσαν P 15 γενεθλίαν A P : γενεθλιακὴν ἡμέραν B 16-18 λέγε τὴν - σποράς Ἡλίου om. A 16 λέγε τὴν om. P 17 γενεθλιακὴν B 18 τῆς τοῦ P νόει A P : λέγε B 19 νυκτὶ A P : ἡμέρᾳ B Post ἐὰν] δὲ τὴν γενεθλιακὴν Σελήνην sed m. 1 deletum B ἐν ἡμέρᾳ ἡ σπορὰ transp. P 20 τοῦ (prius) om. A B τῆς γενεθλίου ἡλίου A : τῆς γενεθλίου σελήνης P : τοῦ γενεθλιακοῦ ἡλίου B 21 μοίραις om. B ἀναφαίρονται P 22-23 τοὺς περὶ τῆς ἡλιακῆς μοίρας B 24 μόρια A P : μοίρας B 26 ἡ τοῦ ἀκριβοῦς ὡροσκόπου τῆς γενέσεως μοῖρα B 27 γεννήσεως P ὡς B P : ὅτι ὡς A 28 ἐστιν B γενεθλίου A P : γενέσεως B εἴπομεν B : προείπαμεν A 29 οὖν om. A 30 φῶμεν A P : εἴπομεν B

αἱ μοῖραι, καὶ εὑρεθῇ ἡ σπορίμη Σελήνη ἐλαττόνων μοιρῶν τοῦ κατὰ τὴν δοθεῖσαν ὥραν εὑρεθέντος ὡροσκόπου, δῆλον ὡς κουφίζεις τὸ διάφορον ἀπὸ τοῦ ὡροσκόπου· ἐὰν δὲ πλειόνων, προστίθης, διότι ἀεὶ χρὴ νομίζειν τὴν ὡροσκοποῦσαν μοῖραν τὴν αὐτὴν εἶναι τῇ σπορίμῃ Σελήνῃ· ἐὰν δὲ ἐν νυκτὶ ἡ σπορὰ εὑρεθῇ, ἔμπαλιν ποίει ἀπὸ τῆς γενεθλίου Σελήνης ἕως τοῦ τῆς σποράς Ἡλίου καὶ τὰ αὐτὰ ποίει τοῖς προλελεγμένοις.

Ποῖα δὲ ἐννεαμηνιαῖα καὶ ποῖα ἑπταμηνιαῖα γνωσθείη ἂν οὕτω· σκοπήσαντες γὰρ ἐπὶ πάσης γενέσεως τὴν σπορίμην ἡμέραν ὡς ἐπὶ ἐννεαμηνιαίων, καθ' ὃν τρόπον ἐν τοῖς ἀνωτέρω δεδείχαμεν· καὶ τὴν προγενομένην σύνοδον τῆς αὐτῆς σπορίμης ἡμέρας καὶ τὰς μεταξὺ μοίρας λαβόντες σὺν τῷ τρίτῳ μέρει αὐτῶν, ἐκβάλωμεν ἀπὸ τῆς προγενομένης συνόδου τῆς σποράς. καὶ ἐὰν ὑπερπέσῃ ὁ ἀριθμὸς τῶν μοιρῶν τὴν ἡμέραν τῆς συνόδου τῆς γενομένης μετὰ τὴν σποράν, φαμὲν εἶναι τὸ βρέφος ἑπταμηνιαῖον· ἐὰν δὲ εὑρεθῇ ἐλάττων ὁ ἀριθμός, ἐννεαμηνιαῖον· πάλιν δὲ γνόντες τὸ ὡροσκοποῦν ζῴδιον καὶ μοῖραν ἐπὶ τῆς ὥρας τῆς προγενομένης συνόδου τῆς σποράς, καθὼς καὶ ἐπὶ τῶν ἐννεαμηνιαίων ἐμάθομεν, τυποῦμεν ὀρθογώνιον τρίγωνον ἀπὸ τούτου τοῦ ζῳδίου, δηλονότι τοῦ ὡροσκοποῦντος ἀπὸ τῆς ἀνατολῆς εἰς τὰ ἡγούμενα ἔχον τὴν μὲν ὑποτείνουσαν πλευρὰν πρώτην μοιρῶν ρν', μεθ' ἣν τὴν ὑπτίαν ρκ'· τὴν δὲ λοιπὴν πλευρὰν ἑστῶσαν λοιπῶν μοιρῶν τοῦ κύκλου ἐννενήκοντα, εἰς συμπλήρωσιν τῶν τριακοσίων ἑξήκοντα μοιρῶν τοῦ ζῳδιακοῦ. μετὰ δὲ ταῦτα πάλιν σκοπήσωμεν ὁμοίως τὴν ὡροσκοποῦσαν μοῖραν ἐπὶ τῆς προγενομένης συνόδου τῆς γενεθλίου ἡμέρας εἰς ποίαν πλευρὰν τῶν τριῶν ἐμπίπτει· ἐὰν μὲν εἰς τὴν ὑποτείνουσαν, φαμὲν εἶναι ἐννεαμηνιαῖον. ἐὰν δὲ εἰς τὴν ὑπτίαν, ἑπταμηνιαῖον· ἐὰν δὲ εἰς τὴν λοιπὴν τὴν ὀρθήν, ὑποπτεύσομεν ἄλογον εἶναι ζῷον τὸ τεχθὲν ἢ ἀλλόκοτόν τι ἢ καὶ ὀλιγοχρόνιον. σκοποῦσι δὲ καὶ τὰς μοίρας τῶν δύο συνόδων, τῆς τε γενεθλίου ἡμέρας καὶ τῆς σπορίμης, καὶ ἐὰν εὕρωσι τὴν μὲν μίαν σύνοδον ἐπὶ τῆς ὑποτεινούσης πλευρᾶς τοῦ προειρημένου τριγώνου, τὴν δὲ ἑτέραν ἐπὶ τῆς ὑπτίας, λέγουσιν εἶναι ἐννεαμηνιαῖον· ἐὰν δὲ ἡ μὲν μία ἐπὶ τῆς ὑπτίας, ἡ δὲ ἑτέρα ἐπὶ τῆς ὀρθῆς, ἑπταμηνιαῖον· ἐὰν δὲ ἐπὶ τῆς ὑποτεινούσης ἡ μία, ἡ δὲ

1 καὶ om. A σπόριμα A 2 εὑρεθέντος dubium in B : εὑρεθέντα A 2-4 κουφίζεις - αὐτὴν εἶναι om. B 2 κουφίζει P 4-5 τὴν σπορίμην (bis repet.) σελήνην B ὃ ἐν νυκτὶ P B : νυκτὸς A 6 γεννητικῆς (om. σελήνης) B τοῦ om. A 8 ss. Ποῖα δὲ — usque ad p. 146, 3 Ὑποδείγματος desunt in B 10 ἐννεαμηνιαῖα A 12 ἐκβάλλομεν A 14 γιγνομένης A 16 γνῶντες A 17 συνόδου τῆς omis. P 18 καὶ omis. P 19 τοῦ om. A 24 ταῦθα A σκοπήσομεν A 24 τὴν ὡρ. μοῖραν ὁμοίως P 28 ὑποπτεύσωμεν P A ἢ P : καὶ A 29 καὶ omis. P. 30 δύο ante μοίρας transp. A 32 προηγουμένου P 34 ἀποτείνουσης P A

ἄλλη ἐπὶ τῆς ὀρθῆς, ἄλογόν τι σημαίνει ζῷον ἢ καὶ ἀλλόκοτον ἢ ὀλιγοχρόνιον.

Ὑποδείγματος δὲ χάριν ἔστω τινὰ τετέχθαι ἐν τῷ ϛζ' ἔτει ἀπὸ τῆς Διοκλητιανοῦ βασιλείας, Ἀθὺρ λ', ὥρᾳ ϛ' ἐν τῷ τρίτῳ κλίματι, καθ' ἣν ὥραν εὕρομεν τὸν μὲν Ἥλιον Τοξότου μοίρᾳ τετάρτῃ ἔγγιστα, τὴν δὲ Σελήνην Αἰγόκερω λεπτῷ μζ', τὸν δὲ ὡροσκόπον Ὑδροχόου μοίρᾳ κε'. ἐπεὶ οὖν εὑρέθη ἡ Σελήνη ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ὡροσκόπου, ἀριθμεῖν χρὴ ἀπὸ τοῦ ὡροσκόπου ἕως τῆς μοίρας τῆς Σελήνης καὶ εὕρομεν μοίρας ξε' λεπτὰ μζ', ἃς παραβαλόντες παρὰ τὸ ἡμερήσιον κίνημα τῆς Σελήνης, τουτέστι μοίρας ιγ', εὕρομεν ἡμέρας ε', καὶ τὰ ὑπολειφθέντα λεπτὰ μζ' ὁμοίως παραβαλόντες παρὰ τὸ ὡριαῖον μέσον δρόμημα τῆς Σελήνης, εὕρομεν ὥραν μίαν τρίτον ἔγγιστα. τὰς οὖν ἡμέρας ε' καὶ ὥραν μίαν τρίτον προσεθήκαμεν ταῖς ἡμέραις τῆς πρώτης ἀποκυήσεως σογ' τρίτον καὶ ἐγένοντο ἡμέραι σοη' καὶ ὧραι ἐννέα τρίτον· ἀνακουφισάντων δὲ ἡμῶν ταύτας εἰς τοὐπίσω ἀπὸ τῆς γενεθλίου ἡμέρας τε καὶ ὥρας Ἀθὺρ λ' ὥρᾳ ϛ', ἔφθασεν εἰς Μεχεὶρ κϛ' εἰς κζ' ὥρᾳ νυκτερινῇ η'· κουφιζομένου καὶ τοῦ τετάρτου μέρους ἐμβολίμου ἡμερονυκτίου, ὥρας ϛ', εὑρίσκεται ϛϛ' ἔτει Μεχεὶρ κϛ' εἰς κζ' ὥρα δευτέρα, καθ' ἣν ὥραν τὸν Ἥλιον εὑρήκαμεν μοίρᾳ* τὴν δὲ Σελήνην μοίρᾳ*.

Ἐγνωσμένου δὲ τοῦ τῆς σποράς καιροῦ μεθοδικῶς ἢ καὶ παρατηρητικῶς, χρηστέον αὐτῷ εἰς διάσκεψιν τῶν σωματικῶν τε καὶ ψυχικῶν ἰδιωμάτων ἐκ τοῦ τότε σχηματισμοῦ τῶν ἀστέρων καὶ τῆς τοῦ περιέχοντος διαδόσεως· καὶ αὐτῇ δὲ τῇ ἐκτροπῇ προσεκτέον ὡς μεγίστῃ καὶ αὐτῇ δυναμένῃ τὰ αὐτὰ σημαίνειν, καὶ μόνῳ τούτῳ τῆς κατὰ τὴν σποράν καταρχῆς λειπομένῃ, τῷ δι' ἐκείνης καὶ τὰ πρὸ

1 ἢ (alt.) corr. : καὶ codd. 3 ὑπ(όδειγμα) ἄτινα τετάχθαι B Anno 381 p. C. n. βασιλέως P. 4 Post βασιλείας] ἤτοι ἀπὸ τῆς κτί(σεως) κόσμου (sine numero) B ἐν τῷ τρίτῳ κλίματι omis. B 5 εὕραμεν A μοίρᾳ omis. spatio relicto B τεσσάρας codd. : τετάρτῃ corr. 6 αἰγόκερω omis. B. Legendum Ταύρου? 8 τῷ ὡροσκόπῳ AP τὰς μοίρας B 9 εὕραμεν PA παραβάλλοντες B : παραλαβόντες AP 10 μοιρῶν ιγ' PA : ιγ' μοίρας B εὑρήκαμεν PA 11 ὑπόλοιπα B παραβαλλόντες sic B : παραλαβόντες PA 12 Post τὸ] ὅπερ ἐστιν ὡς οἶμαι λγ' add. A εὕραμεν AP 12-13 ὥραν πρώτην τρίτον P : ὥραν μίαν τέταρτον A : ὥρας α'γ' B 13 ε' omis. B τρίτον] γ' P B : τέταρτον A 13-14 προσεθείκαμεν A 14 τῆς ἡμέρας B : omis. A 15 τρίτον P A : ἥμισυ B 16 γενεθλιακῆς B τε omis. B ἀθὺρ λη' ἦγουν spatio 2 cm. relicto, deinde ὥρ sine numero B 17 Post κζ'] ἦγουν B νυκτὸς signo astr. B 18 τοῦ omis. A ὥρας P : ὥρᾳ A : ὥρ· B 19 ϛϛ' omis. B ἔτη B : ἔτι A : ἐπὶ P Post κϛ'] ἤτοι spatio relicto B. Librarius diem anni Iuliani indicare voluit, sed non indicavit 20 Post μοίρᾳ in P numerus legi non potest; omis. A B 21 ss. usque ad finem desunt in B. 21 μεθοδιακῶς P καὶ omis. P 21-22 παρατηρικῶς sic A 22 αὐτὸ P 24 Leg. διαθέσεως? δὲ om. P 26 πρὸ A : πρὸς P

τῆς ἐκτέξεως δύνασθαι προγινώσκεσθαι περὶ τοῦ βρέφους ἔτι ἀτελοῦς ὄντος κατὰ γαστρός, ταύτῃ δὲ περὶ ἀνθρώπου ἤδη τελειωθέντος· ὅθεν εὐλόγως ἂν ἐκείνῃ μὲν ὀνομάζοιτο σπέρματος ἀνθρωπίνου γένεσις, αὕτη δὲ ἀνθρώπου· πλεῖστα γὰρ αὐτῷ τότε προσγίνεται ἃ προσῆν ὅτε κατὰ γαστρὸς ἦν. τὴν κατὰ τὴν ἐκτροπὴν τοίνυν ἀρχὴν σκοποῦντες, ἐξ αὐτῆς μᾶλλον ἀκριβῶς καταστοχαζόμεθα πάντων τῶν ἀνθρωπίνων συμπτωμάτων ὑποπιπτόντων, καὶ ἐνταῦθα διὰ τῆς αὐτῆς θεωρίας καὶ τῶν κατὰ <τὸν> τῆς σπορᾶς χρόνον ἰδιωμάτων.

Ex cap. II, 2. — Περὶ μοίρας ὡροσκοπούσης.

Ὁ δὲ Ἀνουβίων ἐν τοῖς ἐλεγείοις τάδε φησίν·

Ὡρονόμον δὲ μάθοις ὥρας ἄτερ ἀστράσιν ἄλλοις
σκεπτόμενος Μήνην καὶ μέγαν Ἥλιον·
ἡμερινῇ γενέσει μὲν ἀπ' Ἡελίοιο, νοήσας
οἶκου δεσπόζων ἔνθα βέβηκε θεός·
κεῖθεν δὲ στοιχηδὸν ἀριθμήμεναι ἄστρα
μέχρι Σεληναίης ἀστέρος ἱσταμένου·
πάντα δ' ἄπ' Ἡελίοιο διέκβαλε τοῦτον ἀριθμόν,
εἰς ὅ τι δ' ἂν λήξῃ, κεῖθι καὶ ὡρονόμος·
χρὴ δὲ Σεληναίης προτέρης ἀνελέσθαι ἀριθμόν,
ὥρην νυκτερινὴν σκεπτόμενον θέματος·
εἰ δέ κεν Ἡλιός γ' ὀλίγας μοίρας ἔχῃ ἄστρων,
χρὴ τετράγωνα θ' ὁρᾶν καὶ διάμετρα τόπων.

Ἡφαιστίωνος Θηβαίου περὶ καταρχῶν βιβλίον τρίτον

Καὶ πρὸς τοῖς δυσὶ βιβλίοις τοῖς ἐκ συναγωγῆς ἡμῖν τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων συντόμως γραφεῖσιν, ἐκτεθείσθω τουτὶ τρίτον χρησιμώτατον ὑπάρχον περὶ καταρχῶν παντοίων, σπουδαιότατε καὶ ὁσιώτατε καὶ φιλομαθέστατε τῶν φίλων Ἀθανάσιε· ἔξεσται δέ σοι μετὰ πολλῆς ῥᾳστώνης ἐκ τούτου εὐεπιτεύκτως ἐπιθεωρεῖν τὰ ἀνθρώπεια καὶ τὰ τῇδε πάντα πράγματα, καὶ τῶν μὲν ἐκ προαιρέσεως τὰς καταρχὰς εὐθέτους καὶ εὐπαρέργους κατὰ τὸ δυνατὸν πηγνύναι, τῶν δὲ ἀπροαιρέτως συμβαινόντων τύχῃ καὶ αὐτομάτῳ· καὶ τούτων

2 κατὰ γαστρὸς ὄντος P 3 ἀλόγως A Post ἄν] εἴη add. A 7 αὐτοῦ A 8 τὸν suppl. 10 Hos Anubionis versus iam ediderunt Salmasius, ***Exerc. Plin.***, II, 1227, et Iriarte, ***Bibl. Matrit. codices Graeci***, p. 246. Ex his repetiit Koechly, ***Manethoniana***, p. 117. — Paraphrasis eorum solutis verbis edita est ***Cat.*** VIII, 2, p. 57. — Codicem **A** (Paris. 2841), f. 61ᵛ descripsit Ruelle. **P**(arisinum 2417), f. 69ʳ contuli. 10 ἀννουβίων A 11 ὡρονόμου — ὥρην cod. Iriartis μάθοις Koechly : μάθῃς A P ὥρην Koechly 13 ἡλίοι· ὡήσας P 15 εστοίχηδον AP 19 προτέρας A ἐνελέσθαι P 20 ὥρο νυκτερινοῦ P 21 δὴ P γ' scripsi : τ' P : omiserunt ceteri ἔχει A P 22 θ' om. P τόπων dubium in P 23 **P**, f. 143ᵛ; **A**, f. 26ʳ. 23 Ἡφαιστίωνος φιλοσόφου θηβαίου περὶ καταρχῶν κοινῶς βιβλίον τρίτον A : Ἡφαιστίωνος βιβλίον θηβαίου περὶ καταρχῶν β^1 γ', in marg. πη'· κοινῶς βιβλίον γ' P 27 τε δὲ A 28 θεωρεῖν P 29 προαιρέσεων P

τὰς ἀστροθεσίας σκοπήσαντες τῆς καταρχῆς, εἰσόμεθα πῶς ἕκαστον ἐκβήσεται καὶ ποῖον ἕξει τέλος. οὕτω δὲ καὶ ἐπὶ πάσης γενέσεως καταρχῆς λόγον τὸ διάθεμα σκοποῦμεν. ἀναγκαῖον τοίνυν ἀκριβῶς σκοπῆσαι τὴν ὥραν τῆς καταρχῆς ἐπὶ παντὸς πράγματος διὰ τῶν ὡς ἔνι μάλιστα διηρθρωμένων ὡροσκοπιῶν, καὶ οὕτως τὰ κέντρα στῆσαι ὡς ἐπὶ γενέσεως τῶν τε φώτων καὶ τῶν πέντε ἀστέρων τὰ μήκη καὶ τὰ πλάτη ἐπιγνόντες, καὶ πῶς ἔχουσι σχήματος πρός τε ἀλλήλους καὶ τὸ πᾶν. ἐκ τούτων λοιπὸν ἁρμοσώμεθα τῶν γινομένων ἑκάστῃ προγνώσει.

VII. — Περὶ κτίσεων καὶ οἰκοδομιῶν καὶ καθιδρύσεων.

Ἐὰν βουληθῇ τις εὐδαίμονα πόλιν κτίσαι καὶ παράμονον[1], ὁμοίως τε ναῶν καὶ οἴκων καὶ τειχῶν οἰκοδομίας καταβαλέσθαι, ἐπιτηρείτω τὴν Σελήνην ἐν τῷ βασιλικῷ τριγώνῳ παροδεύουσαν κατὰ τὸν καιρὸν καὶ τὴν καταρχὴν τῆς περιγραφῆς ἤτοι θεμελιώσεως καὶ ὑπὸ πάντων τῶν ἀστέρων καλῶς μαρτυρουμένην· οὕτω γὰρ τυχοῦσα ὑπὸ μεγίστων βασιλέων ἤτοι ἀρχόντων τὸ κτίσμα καὶ τὴν τούτου ἐπιμέλειαν καὶ φροντίδα ἔσεσθαι μηνύει καὶ ἐνδιαίτημα βασιλέων καὶ θεοῖς προσφιλές ἐπίσημόν τε καὶ ἔνδοξον καὶ πολυχρόνιον. εἰ τύχῃ δὲ ἀπολειπόμενος, τις τῶν ἀστέρων τῆς προσφόρου μαρτυρίας, τὸ ἐνδεὲς περὶ τὴν πόλιν ἐσόμενον ἐντεῦθεν συνορασθήσεται· τοῦ μὲν γὰρ Ἄρεος ἀποκεκλικότος καὶ ἀποστρόφου τυγχάνοντος τῇ καταρχῇ, ἐνδεὴς ἔσται ὅπλων καὶ ἀσθενήσει περὶ τὰ πολεμικά, τῆς δὲ Ἀφροδίτης ὁμοίως ἀσυνδέτου τυγχανούσης, χαρίτων καὶ τρυφῆς καὶ ἀστειότητος ἐκτὸς ἔσται καὶ τοῦ φιλεῖσθαι. ἢν δὲ ἀπὸ Διὸς ἀθεώρητος ἡ καταρχὴ γένηται, εὐεπηρέαστος ἔσται, οὐδεμιᾶς φροντίδος ἢ κηδεμονίας μετέχουσα. τοῦ δὲ Ἑρμοῦ ἀσυσχηματίστου ὄντος, οὐ φρόνησις, οὐ λόγων ἄσκησις ἐν αὐτῇ ἔσται. εἰ δὲ συμβαίη ἐναντιοῦσθαι τὸν τοῦ Ἄρεως ἢ τὸν τοῦ Διὸς τοῖς φωστῆρσι, τουτέστιν Ἡλίῳ καὶ Σελήνῃ, καὶ πολέμων πειραθήσεται ἡ πόλις, καὶ μάλιστα ὅταν κατὰ τὸ τετράγωνον παραγένηται ἡ Σελήνη κατὰ τὴν τοῦ διαστήματος πρὸς

1 οἰσόμ(ε)θ(α) P 5 ὡροσκοπίων A 7 τὰ πλάτη om. P 8 ἁρμοσόμεθα A 9 ἑκάστῃ προγνώσει om. P **P**(arisinum 2417), f. 156ᵛ, cap. qε′ descripsit Ruelle **B** (= Paris. 2506), f. 30, cap λβ′ usque ad p. 150 v. 15 contuli. In margine codicis P manus paulo recentior addidit ...τ. ὀρθοτητ... τοῦ βιβλίου βασιλικοῦ, et deinceps varias lectiones huius codicis regii addidit. 9 κτήσεων P : κτίσεως B 10 Ἐὰν δὲ P καὶ παράμονον B ; add. m. 2 P 11 ναὸν καὶ οἶκον P καταβάλλεσθαι P corr. m. 2 ἐπιτηρήτω P : ἐπιτήρει B 12 κατὰ P : καὶ B 13 ἐπιγραφῆς B 16 βασιλέως corr. in βασιλέων P 17 ἀπολιπόμενος B 22 τυχούσης P 23 ἢν B : εἰ P 24 Post οὐδεμιᾶς] ἐκβάσεως expunctum P 26 συμβαίνει P 26-27 τὸν τοῦ Ἑρμοῦ ἢ τὸν τοῦ Διός, in mrg. sinistra γρ. καὶ τὸν Ἄρεα, in mrg. dextra γρ. καὶ τὸν τοῦ Ἄρεως P : τὸν Ἄρεα ἢ τὸν Δία B 27 φωσὶ B 28-29 τῶν cum quadrato, codd. 29 - p. 149, 1 τὸν τοῦ δ. πρὸς ἀ. χρόνον P ; non capio

[1] De urbium condendarum genituris astrologos consulere solebant ; cf. *Cat.*, V.1, p. 118, n. 2.

ἀναφορὰν ὥραν, τουτέστι τοῦ ζωδιακοῦ μοίρας ϛ′. συμβαίνει δὲ μὴ πάντας τοὺς ἐνοικοῦντας θανάτῳ ἢ λαφυραγωγίᾳ καὶ δουλείᾳ ὑποπίπτειν τῷ μὴ πάντα τὰ κατασκευάσματα αὐτῆς καὶ τὴν κτίσιν ὑπὸ μίαν καιροῦ ῥοπὴν τὴν καταρχὴν λαμβάνειν. ὥσπερ δὲ ἐπὶ τῶν γενέσεων ἡ τετράγωνος πλευρὰ τὸ τέλος τῆς ζωῆς ἐπιτίθησιν, τότε περ εἴωθεν συμπληροῦσθαι τὰ χρονικὰ καὶ ἀπόλλυσθαι παντελῶς ἡ κατασκευασθεῖσα πόλις, ὁπηνίκα σύμπαντες οἱ κακοποιοὶ κατὰ τὸ τετράγωνον τῆς Σελήνης βιαιότερον τὰς ἀκτῖνας ἐπιφέρωσιν· συμβαίνει γὰρ οὕτως ἐπαύξεσθαι τὰ τῆς συμφορᾶς κατὰ δύο τρόπους συμπίπτοντα, ἔκ τε τῆς κακώσεως τοῦ τετραγώνου καὶ τῆς κατὰ πῆξιν τῆς Σελήνης στάσεως· τὰ δὲ αὐτὰ ἀποτελεσθείη καὶ τῶν ρπ′ μοιρῶν τῆς ἀναφορᾶς συμπληρουμένης ἢ καὶ ἕως ἑτέρου τετραγώνου ἢ συμπληρουμένου παντὸς τοῦ κύκλου. ἢν δὲ καὶ ἀκάκωτα τύχῃ τὰ τετράγωνα ὑπὸ τῆς τῶν κακοποιῶν παρόδου, καὶ δευτέρου κύκλου καὶ τρίτου ἐφάψεται, μερικῶς τὰ συμπτώματα τῶν κακῶν ὑπομένουσα. ἔστι δὲ καὶ ἑτέρα κάκωσις ὁπόταν ἔκλειψιν ὑπόγειον ἡ Σελήνη τύχῃ περιποιημένη, τῆς καταρχῆς καὶ τῆς κατασκευῆς ἐν τῷ μεταξὺ τῆς ἐπιούσης συνόδου γεγενημένης, καὶ τῆς Σελήνης κατὰ τοῦτον τὸν χρόνον πρὸς τοὺς κακοποιοὺς σχηματιζομένης ἢ κατὰ τὸν χρόνον τῆς πανσελήνου· συμβαίνει γὰρ κατὰ τὴν τοιαύτην καταρχὴν σεισμῷ ἀπόλλυσθαι, συνεχέστερον δὲ τὰς οὕτω γιγνομένας πόλεις βλάπτεσθαι, ἐπὶ μὲν τοῦ τοῦ Κριοῦ τριγώνου πυρώδους ὄντος ἀπὸ πυρός, ἐπὶ δὲ <τοῦ> τοῦ Ταύρου γεώδους ὄντος ὑπονοητέον τὰς ἀπὸ γῆς καὶ γεωργίας βλάβας ἢ ὠφελείας κατὰ τοὺς τῶν σχηματισμῶν ὅρους· ἐπὶ δὲ τοῦ τῶν Διδύμων τριγώνου ἀερώδους ὑπάρχοντος τὰς ἐξ ἀέρων ὠφελείας ἢ βλάβας· ἐπὶ δὲ τοῦ τοῦ Καρκίνου ὑδατώδους ὄντος τὰς ἐξ ὑγρῶν ὠφελείας ἢ βλάβας.

1 ϛ′ P : β′ B In mrg. cod. P adnotatio in qua deest versiculorum finis. σή(μαινε) ὅταν ἀναφ... | ρικῶν ἢ τετράγωνον πλ<ευρὸν> | τῆς σελήνης πληρωθ... | τὸν τότε ἱερὸν (l. καιρὸν) ἢ εὐ... | τὸν Ἄρεα ἢ τὸν Δία <ἕναν>τιωθῇ τῷ Ἡλίῳ ἢ <τῇ Σελήνῃ> | πόλεμος <ἔσται> συμβαίνει B : σημαίνει corr. m. 2 in συμβαίνει P 2 ἐνοικοῦντας B : κατοικοῦντας corr. m. 2 in ἐνοικοῦντας P δουλίᾳ P 3 κτῆσιν corr. in κτίσιν P : κτῆσιν B 6 ἀπόλυσθαι P ἡ omis. B 8 ἐπιφέρουσι B 9 οὗτος B δύο omis. B 11 στάσις corr. in στάσεως P 12 πληρουμένης P ἕτερος corr. in ρον P : ἑτέρας B 13 ἢν B : εἰ P 13-14 ἀκάκωτος τύχῃ τετράγων(ος) B 15 ἐφάψεται corr. : ἐφάψηται codd. 16 ὑπομένουσα corr. Ruelle : ὑπομαίνουσα P : omis. B ἔγκλειψιν P 17 τύχῃ περιποιημένη P : ποιῇ B : τύχῃ πεποιημένη corr. Delatte 19 20 πρὸς τοὺς — χρόνον omis. P 19-20 κατὸν χρόνον sic B : corr. 20 σημαίνει corr. in συμβαίνει P 21 σεισμοῖς P 22 τοῦ (prius) corr. : τῷ codd. τετραγώνῳ P πυρώδους ὄντος add. m. 2 P : omis. B 23 τοῦ suppl. 24-25 σχημάτων B 25 δὲ omis. B 26 ὑπάρχοντος P : ὄντος B ἀέρων ex ἀώρων corr. B βλάβας ἢ ὠφελείας transp. B τοῦ τοῦ B : τοῦ διὰ P 27 ὠφ. ἢ βλάβας omis. B

Καὶ οἱ κτίζοντες δὲ καὶ οἱ τὴν φροντίδα τῆς κατασκευῆς ἀνειληφότες κατὰ τὴν τῶν οἰκοδεσποτῶν φύσιν τῆς ἀξίας καὶ τῶν ἠθῶν μεθέξουσιν.

Δωρόθεος δὲ παραινεῖ ἐν τοῖς ἔπεσι περὶ οἰκοδομίας οὕτως·

> Ἡνίκα δ' αὖτε θέμεθλα δομήιά τ' ἔργα τελειοῖς,
> προσθετικὴ φαέσιν καὶ τοῖς κατὰ μῆκος ἀριθμοῖς
> ἔστω τοι Κερόεσσα, τό τε πλάτος ἐμβαίνουσα,
> ᾧ τε βορειότατον ζώνης πλινθήιόν ἐστιν,
> ἢ Διὸς ἢ Παφίης ἐν σχήμασι μαρτυρεόντων·
> † ἢ καὶ συνεσσομένων Φαίνων γέμεναι ἐνερύκει
> δερκόμενος, μαλερὴν δὲ περὶ φλόγα Θοῦρος ὀρίνει.

Καθαιρετέον δὲ τοὺς τοίχους ἀπὸ τοῦ βορεινοῦ ὕψους Σελήνης κατερχομένης· ἀνενεκτέον δὲ λίθον ἀπὸ θεμελίων αὐτῆς οὔσης ἐν τοῖς χθαμαλωτάτοις μέρεσι, τουτέστιν ἐν τῷ νοτίῳ πέρατι.

Ἐν δὲ τοῖς ναοῖς καθιδρυτέον τὰ ἀγάλματα[1] σκευασθέντα τῷ προσφόρῳ εἴδει, ὁμοίως δὲ καὶ ὕλῃ, καθὼς οἱ σοφοὶ Αἰγύπτιοι καὶ οἱ λοιποὶ ἀρχαῖοι παραδεδώκασι, Σελήνης πληθούσης ἐπὶ φάσεως· θειωδεστέραι γὰρ καὶ ἐμψυχοπεποιημέναι αἱ δυνάμεις αὐτῶν οὕτω τελεσθέντων ἐκ τῆς κοσμικῆς κινήσεως ἀποτελοῦνται. ἕκαστον δὲ τῶν ἱερῶν καὶ ἀγαλμάτων κατασκευάζειν καὶ ἱεροῦν σύμφορον ἐν τῷ τριγώνῳ τῷ τοῦ Διὸς τῆς Σελήνης οὔσης, καὶ τοῦ Διὸς συμφώνου πρὸς αὐτὴν ὄντος, τουτέστιν ἐν τῷ αὐτῷ τριγώνῳ, καὶ Ἡλίου ὁμοίως ἐσχηματισμένου, τοῦ δὲ Κρόνου ὁμοίως τυγχάνοντος ἐν τῷ ἰδίῳ τριγώνῳ· καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων οὕτω

1 οἱ alterum omis. B 4-11 Pro versibus Dorothei habet B : Σελήνη γὰρ αὐξιφωτοῦσα καὶ τὰ βόρεια ἀνιοῦσα καὶ τοῖς ἀριθμοῖς προστιθεῖσα ἀγαθὴ τοῖς κτίζουσι· δεῖ δὲ καὶ τοὺς ἀγαθοποιοὺς ἢ συνεῖναι αὐτῇ ἢ μαρτυρεῖν· ἐὰν γὰρ Κρόνος ἢ συνῇ ἢ μαρτυρῇ βραδυτῆτα καὶ συμπτώσεις ποιεῖ, ἐὰν δὲ Ἄρης διὰ πυρὸς φθείρει. 5-11 Edidit Kroll, *Cat.* VI, p. 103 cuius correctiones recepimus. 6 προστεθικοὶ φαέσι cod. 7 καιουροεσαι ὅτι πλάτος ἐμβαίνουσαι cod. 8 ὧτι 9 ταφίης ἐσχήμασι cod. 10 « tolerarem εἰ καὶ σινομένοις Φ. φέγγεσσιν ἐρύκει » Kroll. Leg. ἢ κε ? Ruelle 11 μαλερὶν cod. 12-14 Καθαιρετέον — πέρατι] Pleniorem formam habet B : Σελήνης νότον κατερχομένης (Leg. ἀνερχομένης ?) δεῖ θεμελίους πήσσειν, βορρᾶν δὲ τοίχους ἐποικοδομεῖν, βορρᾶν δὲ κατερχομένης τοίχους καθαιρεῖν, νότον δὲ θεμελίους ἀνορύττειν· ἐν πᾶσι δὲ τούτοις οἱ μὲν κακοποιοὶ ἀποστάντων, οἱ δὲ ἀγαθοποιοὶ μαρτυρείτωσαν. Quae omnia ex Dorotheo hausta esse videntur 12 Σελήνης omis. P 14 νωτίω P 15 ss. desunt in B 16 ὕλικαθῶς cod. Pro ὕλῃ leg. τὰ ἱερὰ ? cf. p. 151, 1 22 ὄντος corr. : οὕτως cod. 23 λοιπῶ ... αστ ... ων cod.; cetera evanida.

[1] Cf. cap. Iuliani Laodicensis Περὶ θεῶν καθιδρύσεως, *Cat.* VIII, 4, p. 252 et Porphyr., *De philos. ex oraculis haur.*, ed. Wolff, p. 206 ss.

κατασκευαστέον τὰ τε ἱερὰ καὶ τὰ ἀγάλματα. ἔτι μὴν καὶ ὄντων αὐτῶν ἐν τοῖς ὑψώμασί τε καὶ οἴκοις κατασκευάζειν αἴσιον, μηδενὸς τῶν κακούντων ἀστέρων ἐναντιουμένου. ἀφιεροῦν δὲ Τύχην χρὴ τῆς Σελήνης οὔσης ἐν τῷ ἰδίῳ τριγώνῳ καὶ τῆς Ἀφροδίτης, καὶ ἐν Αἰγόκερῳ δὲ καὶ Καρκίνῳ εὔθετον· Μητέρα δὲ θεῶν ἐν Λέοντι καὶ Ταύρῳ καὶ Αἰγόκερῳ· ἐν δὲ Παρθένῳ καὶ Ταύρῳ Δήμητρα καὶ Κόρην καὶ Πλοῦτον· Ὄσιριν δὲ Ἰχθύσιν, Ὑδροχόῳ, Ταύρῳ· Νίκην δὲ ἐν Παρθένῳ, Καρκίνῳ· τὸν δὲ Σάραπιν Ταύρῳ, Λέοντι, Τοξότῃ· ἐν Τοξότῃ δὲ καὶ Ἰχθύσιν Ἀσκληπιὸν καὶ Ὑγίειαν· ἐν δὲ Παρθένῳ καὶ Αἰγόκερῳ Διόνυσον· ἐν Διδύμοις καὶ Λέοντι Ἡρακλέα· Ἔρωτα δὲ καὶ Χάριτας ἐν τοῖς τῆς Ἀφροδίτης ζῳδίοις καὶ ὑψώματι· Νέμεσιν δὲ ἐν τοῖς τοῦ Κρόνου[1], καὶ ἐπὶ τῶν λοιπῶν θεῶν ὁμοίως δεῖ ποιεῖν τὰ ἀγάλματα ἢ τὰς εἰκόνας ἢ ἐκτυπώματα ἐπὶ σφραγίδων καὶ τελεῖν ἕκαστον καὶ ἀνανεοῦν προσφόρως ἐν τοῖς προλελεγμένοις ζῳδίοις τῆς Σελήνης οὔσης·

Αἱ δὲ πασ... χύσεις καὶ εὐχαὶ γιγνώσκονται οὕτως· ὁ μὲν ὡροσκόπος ἐστιν ὁ εὐχόμενος, τὸ δὲ δοῦνον τὸ θῦμα ὃ προσφέρει, τὸ δὲ μεσουράνημα ὁ θεός, τὸ δὲ ὑπὸ γῆν κέντρον σημαίνει εἰ <θεοὶ> ἐπήκοοι τῶν εὐχῶν εἶεν, καὶ περὶ τοῦ πράγματος οὗ τις εὔχεται καὶ πυνθάνεται.

VIII. — Πῶς δεῖ ὁρκίζειν.

Μετέρχονται οἱ ὅρκοι τοὺς ἐπιόρκους, ἐπεὶ ἂν ἐπιορκήσῃ τις τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, τοῦ Ἄρεος συνόντος αὐτῇ καὶ ὁρῶντος ὑπεναντίον τοῦ Ἡλίου δύνοντος καὶ ἐν Ζυγῷ καὶ μάλιστα περὶ δικαίου· ἐν δὲ τοῖς λοιποῖς ζῳδίοις τοῦ Ἡλίου δύνοντος εὔθετον ὁρκίζειν· οἱ γὰρ ἐπιορκοῦντες οὕτως ποινηλατοῦνται[2].

6 δήμητραν cod. 8 σαράπην cod. 16 Leg. πᾶσαι πεύσεις vel ἐπιχύσεις ? cf. v. 19 18 θεοὶ suppl. 19 οὗ τ' εἰς cod. 22 ἐπὶ cod. 23 ὁρόντος cod. 24 ἐν Ζυγῷ <ὄντος> ?

[1] Cf. Vett. Val., p. 2, 22 : Κρόνος ἐστὶ Νεμέσεως ἀστήρ; Bouché-Leclercq, *Astr. gr.*, pp. 94, 307; Roscher, *Lexikon*, s. v. " Planeten „ c. 2527.

[2] Nescio an v. 27 ss corrupti sint, ac primum ὁρῶν τὸν Ἥλιον legendum sit pro ὁρῶντος τοῦ Ἡλίου, nam saepe eum qui ad iusiurandum adigebatur, solem intueri iubebant; cf. e. g. *Anth. Pal.*, XIV, 72 : Φῶτα στῆσον ἔναντα δεδορκότα πρὸς φάος αὐγῆς | ἠελίου. Aurel. Victor. 39, 13 : " Cum (Diocletianus) educto gladio solem intuens obtestaretur... „ Arrian., *Bithyn.*, fr. 33 (F. H. G. 592) : ἐδίκαζον καθεζόμενοι ἀντίοι τοῦ Ἡλίου. — Deinde v. 25 δύνοντος ex v. 24 repetitum esse pro ἀνίοντος suspicor; cf. dissertationem meam *Il sole vindice dei delitti* (*Memorie della Pontif. Accad. Romana di archeologia*, I, 1923, p. 68, n. 33; p. 69, n. 42). — Signum iustitiae Libram esse consentaneum; cf. Manil., IV, 209 ss.

X. — Περὶ συνελεύσεως.

Μέλλων δὲ συγγενέσθαι ὁ γαμῶν ἔστω ἱλαρὸς καὶ ἀπὸ ἱλαρῶν καὶ ἄλυπος, μήτε ἄγαν συνβεβαρημένος τροφῇ καὶ μέθῃ· φυλασσέσθω δὲ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον ἐν τῷ η′ ἢ ἐν τῷ β′, τῷ τούτου διαμέτρῳ. ἐπιτηρείτω δὲ καὶ τὸν τῆς ὥρας κύριον ἀκάκωτον εἶναι. ὁ δὲ κλῆρος ἔστω ἐν τῷ περὶ φιλίας ἢ ἐν τῷ περὶ τέκνων ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ θεῷ, τουτέστιν ἐν τῷ θ′· ἔστω δὲ καὶ ἡ Σελήνη ἀκάκωτος καὶ σύμφωνος τῷ ὡροσκόπῳ. ὁ δὲ Ἑρμῆς ἐπὶ ἀνατολῆς τυγχάνων, ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος ἐν τῇ ὥρᾳ τῆς καταβολῆς, ποιήσει τὰ τικτόμενα εὐτυχῆ καὶ εὐπαίδευτα καὶ εὐδαίμονα· λέγουσι δὲ οἱ περὶ Πετόσιριν ὅτι ἐν ᾧ ζῳδίῳ εὑρίσκεται ἡ Σελήνη ἐν τῇ σπορᾷ, τοῦτο ὡροσκοπήσει ἐν τῇ ἐκτέξει· ὅπου δὲ ἐν τῇ ἐκτέξει παροδεύει, τοῦτο ὡροσκόπησεν ἐν τῇ σπορᾷ. περὶ δὲ γάμου καὶ τῶν περὶ αὐτὸν τοσαῦτα εἰρήσθω.

XXIII. — Περὶ ἐμπράκτων ὡρῶν καὶ ὀνείρων.

Περὶ δὲ ἐμπρακτῶν ὡρῶν ἐν παντὶ τῷ ἐγχειριζομένῳ, μάλιστα δὲ μαντικοῖς, ἐφορᾶν χρὴ τὸν τοῦ θεοῦ οἰκοδεσπότην, στοχαζομένους μὴ τύχῃ κακοδαιμονῶν ἢ ἐπιδύνων, ἢ ἐναντιούμενος τῇ Σελήνῃ μήτε τῷ οἰκοδεσπότῃ αὐτῆς· τούτων γὰρ τῶν σχημάτων γινομένων ἐναντίους καὶ ψευδεῖς καὶ φόβων πλήρεις αἱ μαντεῖαι ἔσονται· καὶ τοῖς δὲ κληρονομίας ἢ παρακαταθήκης πυνθανομένοις παραφυλακτέος ὁ οἰκοδεσπότης τοῦ θ′ τόπου μὴ τύχῃ ἐναντιούμενος τῷ κυρίῳ τοῦ κλήρου, μηδὲ αὐτῷ τῷ κλήρῳ· ἐναντία γὰρ ταύτῃ τῇ πεύσει δηλοῖ οὕτως τυχών.

XXIV. — Ἐν ποίαις ἡμέραις τῆς Σελήνης ἀληθεῖς οἱ ὄνειροι.

Περὶ δὲ πράξεων καὶ τῶν ἐλπίδι τὸ μέλλον θηρωμένων γένοιτο ἂν τὸ τέλος ἐπ' ἀγαθῷ, ἐπὰν τοῦ κλήρου τῆς τύχης καταληφθέντος ὁ

P(arisinum 2417), f. 161, cap. qη′, descripsit Ruelle. **B** (=Parisinum 2506[=10]), f. 31, c. λδ′ contuli. In mrg. ὀρθὸν ἀπὸ τοῦ <βιβλίου βασιλικοῦ> P, cf. supra ad p. 148. 9 2 γάμον corr. m 2 in γαμῶν, deinde ras. 3 litt. P 3 βεβαρημένος B φυλασέσθω P 5 β′ τῷ omis. P ἐπιτηρήτω P δὲ P : οὖν B 6 εἶναι add. m. 2 P 7 τουτέστιν ἐν τῷ θ′ omis. B. Estne glossa? 9 ἐπὶ B : ἀπὸ corr. in ἐπὶ m. 2 P ἀνατολῶν corr. in λῆς m. 2 P ἀπὸ corr. in ὑπὸ m. 2 P 11 ss. cf. supra lib. II, cap. 1, p. 142, 10, eandem sententiam Petosiridis 13 ὅπου B : ὁ P ἐν add. m. 2 P ὡροσκοπήσει B 14 ὥρᾳ corr. in σπορᾷ m. 2 P περὶ δὲ — εἰρήσθω omis. B καὶ περὶ corr. in περὶ δὲ m. 2 P — 15 ss. **P**. f. 165. Descripsit Ruelle. 16 ἐμπρακτικῶν cod. 17 μαντικοῖς corr. : μαντικὰ cod. 27 θηρομένων cod.

κύριος ἐπίκεντρος ἐν ἰδίῳ ζῳδίῳ εὑρεθῇ καὶ τὰ φῶτα εὐχρημάτιστα. χρηματιστικὰς δὲ ἡμέρας ἐν ὀνείροις οἱ παλαιοὶ Αἰγύπτιοι ἐπετήρησαν· τὴν α′ ἡμέραν ἀπὸ συνόδου**, τὴν δὲ δευτέραν καὶ τρίτην οὐκ ἐπιτηδείους· λυπηρὰ γὰρ τὰ θεαθέντα· <τῇ> δ′ δὲ καὶ ε′ καὶ ϛ′ ἀποβαίνει τὰ ὀφθέντα· τῇ δὲ ζ′ ἐν τέσσαρσιν ἡμέραις ἀποβαίνει· ἐν δὲ τῇ η′ χρόνῳ· ἐν δὲ τῇ θ′ ἀνεκβάτους τοὺς ὀνείρους εἶναι· ἐν δὲ τῇ δεκάτῃ καὶ ια′ εἴσω τεσσάρων ἡμερῶν· ὁμοίως δωδεκαταίας οὔσης καὶ τρισκαιδεκαταίας μετὰ καὶ τοῦ αἰσίως· ἡ ιδ′ ἱλαρίας σημαντική ἡ ιε′ ἔμπρακτος μέν, ἐπιβλαβὴς δέ· ιϛ′ δὲ καὶ ιζ′ καὶ ιη′ καὶ ιθ′ ἐπιτελοῦσι τὰ ὀφθέντα εἴσω ἡμέρας ι′· ἡ κ′ καὶ κα′ κοινή· ἡ δὲ κβ′ παραχρῆμα ἐπιτελεῖ τὰ τούτου ὀνείρατα· ἡ κγ′ ἐν ἡμέραις η′· ἡ κδ′ ἐν ιβ′· ἡ δὲ κε′ ἐν κδ′· ἡ δὲ κϛ′ ἀτέλεστα· ἡ δὲ κζ′ τέλος ἐπάξει· ἡ δὲ κη′ καὶ κθ′ ἐν τρισὶν ἡμέραις· ἡ δὲ λ′ ἀνεκβάτους.

XXV. — Περὶ αἰτήσεως χάριτος.

Τοὺς δὲ αἰτοῦντας χάριτας ἐπιτηρεῖν δεῖ τὴν Σελήνην οὖσαν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τούτου τριγώνῳ· ἄμεινον δὲ ὅταν τύχῃ αὐτῆς ὁ οἶκος ἐν ᾧ ἐστιν προστιθεῖσα τοῖς φωσὶ καὶ τοῖς ἀριθμοῖς καὶ συσχηματιζομένη Ἑρμῇ καὶ Διὶ καὶ Ἀφροδίτῃ καὶ τοῖς καλῶς κειμένοις· ἀπέστω δὲ ἡ τῶν κακοποιῶν μαρτυρία. καλὸν δὲ ἐπὶ τοῦ αὐτοῦ σχήματος τὰς ἐντεύξεις ποιεῖσθαι γυναικῶν καὶ ἀνδρῶν.

XXXVII. — Περὶ δραπετῶν.

Ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωρόθεος· ἐκκείσθω δὲ καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα καὶ ἐκ τῶν Συναγωγῶν τοῦ Νικαέως Προταγόρου. φησὶ δὲ οὗτος· ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου τῆς φυγῆς ἀναποδίζων ὁ φυγὼν αὐτομάτως ἐπανελεύσεται πρὸς τὸν δεσπότην· ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ ἢ ὁρίοις καὶ μὴ ἀναποδίζων, ὁ ἀποδρὰς ἔνδον τοῦ οἴκου ἐστὶν ἢ ἐν τῇ πόλει ἢ ἐν τῇ περιχώρῳ

3 Lacunam sign. 4 ἐπιτηδίως corr. in ους cod. 6 <τῇ> suppl. 8 τρισδεκαιδεκατ' cod. 9 ἐπιτελούση cod. 13 L. ἀνέκβατος? 17 προστιθεῖσαν cod. 17-18 συσχηματιζομένην cod. 19 καλῶς cod. 21 **P**(arisinum 2417); f. 173ᵛ descripsit Ruelle'; **B** (= Parisinum 2506 [= 10]), f. 36 contuli. In marg. sup. habet P : (ὀρθὸν) ἐκ τοῦ βασιλικοῦ βιβλίου m. 2, scilicet librarii qui Hephaestionis textum cum " libro regio „ contulit; cf. supra ad p. 152, 1. Περὶ δραπετῶν ἔγραψεν ὁ Δωρόθεος ἐν τῷ ἄλλῳ βιβλίῳ. ὧδε λέγομεν τὰ τοῦ Νικαέως Πρωταγόρου B. Dorothei versuum, qui " librariorum pigritia interciderunt „ (cf. Kroll. *Cat.*, VI, p. 113), paraphrasin solutis verbis scriptam edidit Heeg, *Cat.* V. 3, p. 83. Fragmentum breve editum ab Oliviero, *Studi italiani di filologia classica*, VI, 1897, p. 27, Hephaestionis esse non videtur. 22 Ταῦτα — 24 οὗτος om. B. 24 Leg. οὕτως? 25 αὐτόματος B 25-26 πρὸς τὸν δεσπότην omis. B 26 εὑρεθῇ omis. B καὶ omis. B 27 ἀποδράσας B τῶν οἰκιῶν (om. ἐστὶν) B ἐν (prius) om. B τῷ corr. in τῇ m. 2 P

εὑρεθήσεται, καὶ θᾶττον ἐὰν ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ τύχῃ, ὥσπερ οὖν βραδύτερον, εἰ ἐν τῷ ὑπὸ γῆν εἴη· τῆς δὲ Σελήνης οὔσης ἐν <τῷ> δεξιῷ τετραγώνῳ, τουτέστιν ἐν τῷ μεσουρανήματι, διὰ τῶν δεξιῶν μερῶν τῆς οἰκίας, ἀφ' ἧς πέφευγεν, ὁ φυγὰς τὴν τῆς ἀποφυγῆς πάροδον πεποίηται· ἐν δὲ τῷ εὐωνύμῳ τετραγώνῳ, ὁμοίως διὰ τῶν ἀριστερῶν μερῶν· ὁ γὰρ ὡροσκόπος ἀντὶ τῶν πυλῶν τῆς οἰκίας νοεῖται.[1] ἡ δὲ Σελήνη ἀπὸ τοῦ βορείου πέρατος βορρᾶν κατερχομένη μηνύει τὸν φυγάδα κατὰ μεσημβρίαν πεπορεῦσθαι καὶ εὑρεθήσεσθαι ἐν ἡμέραις κε'· νότον δὲ κατερχομένη ἐν τοῖς κατὰ δύσιν τόποις ἐν ἡμέραις μβ' ἐν καθύγροις τόποις καὶ ἀνημέροις ἢ δυσχειμέροις· νότον δὲ ἀνερχομένη ἐν τοῖς ἀνατολικοῖς καὶ δυσκόλως μηνυθήσεσθαι ἐν ἡμέραις ξδ'· βορρᾶν δὲ ἀνερχομένη ἐν τοῖς ἀρκτῴοις τόποις, καὶ δυσκόλως εὑρεθήσεσθαι μηνύει. καὶ ἐκ τῆς τῶν ζῳδίων [δὲ] φύσεως καταστοχαστέον τὸν τόπον εἰς ὃν ἀπελεύσεται ὁ φυγών, οἷον Ἰχθύες μὲν λιμνώδεις καὶ ἑλώδεις σημαίνουσι· ὁμοίως Ὑδροχόος † Αἰγόκερως ἔλαχε χῶρον καὶ παραθαλάσσιον· ὁ δὲ Τοξότης τραχεῖς, ἀμπελῶνας· Κριὸς δὲ νομαίους καὶ πεδινούς· ὁ δὲ Ταῦρος ἐπιπέδους καὶ πεπονημένους τόπους· Καρκίνος δὲ ἐνύδρους καὶ χερσαίους καὶ ὑψηλούς· Λέων δὲ προσάντεις καὶ τραχεῖς καὶ ἐρήμους· ἡ δὲ Παρθένος σιτοσπόρους· ὁ δὲ Ζυγὸς πεδινούς· ὁ Σκορπίος τραχεῖς καὶ λῃστρικούς, ἔχοντας καὶ ἀμπελῶνας· ὁ δὲ Ὑδροχόος παραποταμίους καὶ ἑλώδεις.

Τινὲς δὲ καὶ τὰ κέντρα ἐμέρισαν οὕτως· τὸ μὲν δῦνον τῷ φεύγοντι, τὸ δὲ μεσουράνημα τῷ δεσπότῃ, τὸν δὲ ὡροσκόπον τοῖς ἀποκλαπεῖσι, τὸ δὲ ἀντιμεσουράνημα τῷ ἀπαντήσαντι. τινὲς

2 οὖν add. m. 2 P ἐν omis. B εἴη omis. B δὲ om. B 3 τῷ suppl. ἐν τῷ μεσουρανήματι τουτέστι ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ ὡροσκόπου B fors. recte. ἐν δ' τετραγώνῳ corr. in marg. m. 1 δεξιῶ P 4-5 ἀφ' ἧς — ἀποφυγῆς] ἀφ' ἧς ὁ δραπέτης ἤρξατο τῆς φυγῆς, τὴν B 5 ἀποφυγῆς corr. : ἐπιφυγῆς P ἐν P : ἐὰν B 6 μερῶν om. B 7 πύλλων corr. m. 1 P ἀπὸ τοῦ βορείου πέρατος om. B 8 φυγόντα B πορεύεσθαι B 9 καὶ om. P κε' P : κ' B ἢ ἐν P 12 μηνυθήσεται P ἀρτικοῖς B : ἀρκτόοις sic P in marg. τὸν ἕτερον P 13 εὑρεθῆναι P μηνύει om. B ἢ P : καὶ B Post τῆς] δὲ exp. m. 2 P δὲ m. 2 P; delevi 15 Ἰχθύες — 16 αμπελῶνας om. B, cf. ad. v. 22 16 αἰγόκερως corruptum (signo astr.); cf. infra ad v. 21 Leg. ὑδρηλόν? λαχεχῶριν P 17 νομέους P : νομιαίους B Ταῦρος δὲ B 18 ὁ δὲ Καρκίνος B χερσέους omisso καὶ P 19 προσήντεις P 20 Παρθένος δὲ B Ζυγὸς δὲ B ὁ om. B 21 καὶ λῃστρικούς om. B Post ἀμπελῶνας add. B : δὲ ὑδρηλὰ χωρία καὶ παραθαλάσσια, cf. supra v. 16. 21-22 ὑδροχόος τραχεῖς παραποταμίους καὶ ὑλώδεις B : ὁ δὲ ὑδροχόος ποταμίους καὶ ὑλώδεις P; ἑλώδεις corr. Post ὑλώδεις add. B : Ἰχθύες δὲ λιμνώδεις καὶ κηλώδεις (leg. πηλώδεις), cf. v. 15 23 in marg. rubr. ἕτερον P 24 τῷ δεσπότῃ corr. in τὸν δεσπότην m 2 P ἀποκλαπεῖσι B : βασταχθεῖσι, sed. m. 2 add. ἤγουν τοῖς ἀποκλαπεῖσι 25 μεσουράνημα, in marg. ἀντιμεσουράνημα P τὸν ἀπαντήσαντα P : τῷ ἀναπείσαντι B (i. e instigatori?)

[1] Quia horoscopus est porta inferorum; cf *Comptes rendus Acad. Inscr.*, 1920, p. 276.

δὲ πάλιν καὶ οὕτως ἀπονέμουσι· τὴν μὲν Σελήνην καὶ τὸν ὡροσκόπον τῷ φεύγοντι· τὸν δὲ Ἥλιον καὶ τὸ μεσουράνημα τῷ κυρίῳ.

Ἐπιμελέστερον δὲ χρὴ προσέχειν τῇ Σελήνῃ· ἐμφαίνει γὰρ αὕτη πάντα, καὶ πρῶτον τὸ ὑπὲρ γῆν ἡμισφαίριον διοδεύουσα εὔκολον τὴν εὕρεσιν ποιεῖται, τὸ δὲ ὑπὸ γῆν δύσκολον, καθὼς καὶ λέγει**· καταληφθεῖσα δὲ ἐν τῷ ὡροσκόπῳ ἡ Σελήνη ἢ ἐν τοῖς ἀκολούθοις τούτου ζῳδίοις, πρὸς ἀνατολὰς τὴν φυγὴν ἀποφαίνει γεγονέναι, ἐν δὲ τῷ μεσουρανήματι πρὸς ἄρκτον, ἐν δὲ τῇ δύσει πρὸς δύσιν, ἐν δὲ τῷ ὑπὸ γῆν κέντρῳ πρὸς μεσημβρίαν. δηλοῦσι δὲ καὶ τὰ κέντρα τὴν ἔξοδον δι' ἧς ἀναχωροῦσι πύλης οἱ φεύγοντες καὶ τὸ μῆκος τῆς ὁδοῦ τὸ διάστημα τῶν ὡρῶν ἀπὸ τοῦ ὁρίζοντος ἢ τοῦ δύνοντος δι' αὐτῆς τῆς Σελήνης· εὑρεθεῖσα γὰρ ἐν τροπικοῖς βραχεῖαν τὴν ὁδὸν τῆς φυγῆς, καὶ βραδέως ὁδεύσαντα, καὶ οὐ μακρὰν ἀπὸ τοῦ τόπου οὗ ἀπέδρα ἐσόμενον σημαίνει· ἢν δὲ ἐν χερσαίοις καὶ λοξοῖς ἢ δισώμοις, οὐκ ὀρθὰς τὰς πορείας ποιήσασθαι, οὐδὲ αὐτὸν μόνον ἀποδεδρακέναι· κατὰ δὲ τὰς ἀνατολὰς ἢ δύσεις τοῦ ζῳδίου τήν τε ὀρθότητα καὶ τὴν σκολιότητα τῆς πορείας αὐτοῦ γνωστέον, τάς τε ἀρχὰς ἀπὸ τῶν ἀνατολῶν καὶ τὰ τέλη ἀπὸ τῶν δύσεων. τὰ δὲ ὕπτια τῶν ζῳδίων καὶ κίνδυνον τῷ φυγόντι ποιοῦσι, καὶ μάλιστα ὅταν οἱ χαλεποὶ τῶν ἀστέρων προσγένωνται· βεβαιότερα γὰρ τὰ κακὰ ἔσεσθαι αὐτοῖς μηνύει, καὶ μάλιστα ὅταν ὑπὸ γῆν ὁ Ἄρης σὺν τῇ Σελήνῃ γένηται ἢ καὶ στηρίζῃ. Κρόνου δὲ μερίζοντος ἀπάγχονται ἢ κατακρημνίζουσιν ἑαυτούς· συναπτούσης δὲ αὐτῆς τοῖς ἀγαθοποιοῖς ἢ κατεχόντων αὐτῶν τὴν ὥραν, τῶν κακοποιῶν συσχηματιζομένων, ἐκ μετανοίας ἀνακάμπτουσι· ἀπεστραμμένων δὲ τῶν κακοποιῶν σχεδὸν ἐν ἐλευθερίᾳ ἔσονται· ἐὰν δὲ Ἀφροδίτη συμπαρῇ τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ ἐπίκεντρος ἢ ἰδιοτοποῦσα, οὐ μόνον ἀνύβριστοι γενήσονται, ἀλλὰ καὶ παρακληθήσονται· μέσης δὲ εὑρεθείσης τῆς

1 καὶ οὕτως πάλιν ἀπονέμουσι B 2 τῷ ὡροσκόπῳ corr. m. 2 in τὸν ὡροσκόπον P 4 αὕτη omis. B : αὐτὴν corr in αὐτή P 5 ποιεῖσθαι corr. in ποιεῖται P 5 δυσκόλως P καθὼς καὶ λέγει om. B : expunxit m. 2 P : nomen proprium deesse videtur 6 ἢ σελήνη omis. P 6-7 ἢ ἐν — ζωδίοις] ἢ ἐν τῇ ἐπαναφορᾷ αὐτοῦ ἢ ἐν τῷ ιβ' τόπῳ B 7 πρὸς B : ἐὰν? P τὴν om. P ἀπονέμει B 9 δηλώσουσι B 10 ἀναχωροῦσι — φεύγοντες] χωρήσουσι πυγῆς· φεύγονται δὲ P 11 τῶν διαστημάτων αἱ ὧραι P 12 εὑρεθῆ P τροπικῷ P 13 ὁδεύοντα B 14 οὗ ἀπέδρα ἐσόμενον P : ἀποδράσαντα B ἐὰν B 15 αὐτόν omis. P 17 τὴν omis. B γνωστόν P τε P : δὲ B 18 καὶ τὰ P : τὰ δὲ B τέλεια P 19 φεύγοντι ἀποτελοῦσι B 20 προσγένονται P 21 ἔσεσθαι omis. P ὑπὲρ γῆν B 21-22 τῇ Σελήνῃ B : αὐτῇ P 22 στηρίζει codd., corr. μερίζοντος P : μερίζοντα B; Leg. στηρίζοντος? ἀπέχονται P 23 καὶ κρημνίζουσιν B αὐτοῖς P 24 καλοποιῶν P 24-25 σχηματιζομένων ἐν μετανοίᾳ B 25 τῶν κακοποιῶν B : αὐτῶν P ἐὰν B παρῇ P 26-27 τῇ σελήνῃ ἢ τῷ ὡροσκόπῳ omis. P 27 ἰδιοτροποῦσα P : ἰδιοτοποῦσιν B., corr., cf Valentis indicem 28 γίνονται B μέσις P

Σελήνης Ἄρεος καὶ Κρόνου, ἐν δεσμοῖς ἔσονται πολὺν χρόνον, ἐσθ' ὅτε δὲ καὶ ἐν εἱρκταῖς ἀποθνήσκουσι, καὶ μάλιστα ἀλλοτριωθέντων τῶν ἀγαθοποιῶν. συναπτούσης δὲ Ἄρει, σφαγήσονται.

Φυλακτέον δὲ καὶ ταῦτα. ἐπὰν γὰρ ἐν τῇ προαναφορᾷ τοῦ ὡροσκόπου ἀστὴρ ἐπῇ, καὶ πρότερον πεφευγέναι αὐτὸν μηνύει· ἐν δὲ τῇ ἐπαναφορᾷ, ληφθεὶς πάλιν φεύξεται· καὶ τῆς Σελήνης ἐν τῷ ὡροσκόπῳ οὔσης ἄλλης οἰκίας καὶ οὐ τοῦ ζητοῦντος ἔσται ὁ φυγών, πλὴν ἀναχθήσεται. ἐὰν δὲ ἀστήρ τις δύνῃ, παραυτίκα εὑρεθήσεται καὶ πλησίον τοῦ οἴκου· ἀσύμφορον δὲ τοῖς φεύγουσι τὸ τὴν Σελήνην τοῖς ἀριθμοῖς αὐξομένην ὑπάρχειν· ληγούσης δὲ αὐτῆς τοῖς ἀριθμοῖς, σύμφορον. Ἥλιος δὲ δύνων ἢ μεσουρανῶν σύν τινι τῶν κακοποιῶν ἢ ἐπιθεωρούμενος σχήματι δραστικῷ, τουτέστιν τετραγώνῳ ἢ διαμέτρῳ, πρὸ τῆς ἀνευρέσεως τοῦ δραπέτου τεθνήξεσθαι σημαίνει τὸν δεσπότην ἢ πολλαῖς ζημίαις καὶ βλάβαις περιπεσεῖν. Ἥλιος ὁρῶν τὴν Σελήνην ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ταχέως τὴν μήνυσιν ποιεῖται διὰ τῶν συνιστορούντων. Κρόνος δὲ ὁμοίως ἐπὶ τῷ ἄνω κέντρῳ σὺν τῇ Σελήνῃ σημαίνει ταχέως <γίνεσθαι> τὴν παράδοσιν διὰ γυναικὸς ῥυπαρᾶς ἢ δούλης, ὑπὸ δὲ ἐλευθέρας γυναικὸς μηνυθήσεται. Ἀφροδίτη ὁμοίως ἐν τῷ ἄνω κέντρῳ οὖσα σὺν τῇ Σελήνῃ μαρτυρούσῃ *** ἐάν τε ὁ ὡροσκόπος ἐν τετράποσι ζῳδίοις, ὁμοίως τὰ αὐτὰ σημαίνει· καθ' ἑαυτὴν δὲ μεσουρανούσης, καθεύδοντες εὑρίσκονται. Ἑρμοῦ δὲ ἐπιδύνοντος αὐτῇ, ἀναπεπεῖσθαι ὑπὸ τῶν γειτονούντων τινὸς ἢ συνεζηκότων αὐτῷ γνωστέον. Ἀφροδίτης καὶ Διὸς ἢ καὶ Ἡλίου ἐπιδύνοντος, συγγενὴς ἔσται ὁ πείσας καὶ φανήσεται ἐλεύθερος ὤν. ὡροσκοπούντων δὲ Ταύρου, Διδύμων, Καρκίνου, Λέοντος, Παρθένου, Σκορπίου, Ἰχθύων, ἐπιθεωρούντος Διὸς καὶ Ἀφροδίτης, ἐν ἱερῷ τόπῳ φανήσεσθαι καὶ εὑρεθήσεσθαι προδηλοῖ· τοῦ δὲ Ἄρεος μεσουρανοῦντος σὺν τῇ Σελήνῃ ὁ φυγὼν τομὴν ἕξει εἰς τὴν ὄψιν ἀπὸ

1 Ἄρεος καὶ Κρόνου P : τῶν κακοποιῶν B πολλοῖς-χρόνοις P 2 δὲ omis. P εἱρκτοῖς B : ἀρκταῖς corr. in εἱρκταῖς m 1 P 3 σφαγίσονται P 4 φυλακταῖον P καὶ omis. P ἐν om. B ἐπαναφορᾷ B 5 ἐπῇ corr. : ἐπεὶ codd. καὶ πάλιν P 7 οὐ τοῦ — φυγών] οὕτως σκεπτομένου ἔσται P 8 ἐὰν B : ἢ P 9 ἀσύνφορον P δὲ om. P 10-11 αὐξομένην — σύμφορον] προστιθέναι· ἀφαιρούσης δὲ σύμφορον B ὑπάρχειν corr. : ἡ ὑπάρχει P 11 δύνον P 13 τεθνῆσθαι P 14 ζημίαις om. P περιβάλλει B 15 ποιῆται B 17 τῇ et σημαίνει om. P γίνεσθαι suppl. 18 ῥυπαρᾶς — γυναικὸς omis. P 19 οὔσης P τῇ om. P 19-20 μαρτυρούσης P Spatio vacuo lacuna indicatur P : deest B τε om. P 21 μεσουράνημα vel μεσουρανοῦσα signo astr. codd. 22 ἀπό P γειτονούντων B : ἐν γειτνιάσει P 23 συνεξηκότων codd., corr. Ruelle γνωστέον B : σημαίνει B 24 ἐπιδύνοντος P : μαρτυρήσαντα B συγγενὲς P φανίσεται P 27 ἱερῷ τούτῳ sed υ in ras.; fuit τόπῳ P : ἱεροῖς τόποις B φανήσεσθαι καὶ omis. B προδηλοῖ corr. : δηλοῖ B : πρόδηλον P 28 μεσουραν(ούντος) σὺν τῇ B : σὺν cet. om. P 27 τομὴν B : τομὰς P

σιδήρου. εἰ τύχοιεν δὲ Κρόνος καὶ Ζεὺς καὶ Σελήνη ὡροσκοποῦντες, ἀργύρια βεβαστάχθαι μηνύουσι, καὶ εὑρεθήσεσθαι τὸν φυγόντα· οἱ ἀγαθοποιοὶ ὡροσκοποῦντες σὺν τῇ Σελήνῃ ἀμεριμνίαν τῷ φεύγοντι παρέχουσι μετὰ τὸ βεβαστάχθαι καὶ ἱκανὰ χρήματα. Ἄρεος δὲ καὶ Κρόνου ἐπιδυνόντων σὺν <τῇ> Σελήνῃ εἴσω ρξ' ἡμερῶν ἢ καὶ ρο' εἰς τὴν τοῦ δεσπότου ἐξουσίαν ἐπανήξουσι. Ἑρμῆς δὲ σὺν τῇ Σελήνῃ καὶ Ἀφροδίτῃ ὡροσκοπῶν ἢ μεσουρανῶν μηνύει παῖδα ἢ παρθένον ἢ νεανίσκον, τοῦτον δὲ εὑρεθήσεσθαι ἐπιδόντων τῶν κακοποιῶν περὶ ἡμέρας ν'. ἐὰν δὲ Ἑρμῆς καὶ Ἄρης, μεσῃλίξ τις ἔσται ὁ ζητούμενος· ἐὰν δὲ Κρόνος καὶ Ἑρμῆς καὶ Ἀφροδίτη, ἀνὴρ καὶ γυνὴ καὶ υἱός· ἐὰν δὲ Κρόνος, Ζεύς, Ἑρμῆς, Ἥλιος, Σελήνη, εὐνοῦχος ἔσται ὁ δραπέτης. ἐπὶ δὲ τοῦ ὡροσκόπου Ἄρης καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ἑρμαφρόδιτον μηνύει· Ζεὺς δὲ καὶ Ἀφροδίτη καὶ Ἥλιος ἐλευθέρους δραπέτας· Ἄρεος δὲ ἐπιθεωροῦντος Διὰ κατεχομένους ὑπὸ ἐξουσίας τινὸς καὶ φρουρᾶς· Ἄρεος δὲ καὶ Κρόνου ὡροσκοπούντων ἑαυτοὺς παραδώσουσιν ἐξουσίαις τισί· Ἄρης δὲ καὶ Ἀφροδίτη ὡροσκοποῦντες πολλὰ ἀναλώσειν εἰς ἀφροδίσια μηνύουσι, καὶ διὰ τοῦτο τὴν φυγὴν ἠρῆσθαι.

Τῆς δὲ Σελήνης ἀκριβοῦν τὰ σχήματα χρὴ καὶ τὰς συναφὰς καὶ τοὺς συνδέσμους, καθὼς προείπομεν, σκοπεῖν δὲ ἐν ποίῳ κλίματι ἀπὸ τῶν κέντρων εὑρίσκοιντο πρὸς ἀνατολὰς ἡ δυσμὰς καὶ τὰ ἄλλα· ἐκ τούτου γὰρ εὔδηλον ἔσται οὐ μόνον περὶ τῶν ἀποδιδρασκόντων, ἀλλὰ καὶ τῶν τὰς μακρὰς ἀποδημίας ποιουμένων διά τε γῆς καὶ θαλάσσης· ἐν τοῖς περὶ τὸ δυτικὸν κέντρον ζῳδίοις τυχοῦσα καὶ τοῖς ἀπὸ τοῦ μεσουρανοῦντος ἀποκλίμασι καταληφθεῖσα ἡ Σελήνη οὐκ ἐνόριον τὴν μετάστασιν ποιεῖται· ἐνόριον δὲ ἐν τῷ ὡροσκόπῳ καὶ τῷ μεσουρανήματι· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἐν τῇ πόλει εὑρίσκονται ἀλύοντες καὶ παρά τινι καταγόμενοι. τῆς δὲ Σελήνης ἀσυνδέτου οὔσης τῷ Ἡλίῳ τε καὶ τῷ ὡροσκόπῳ κατὰ τὸν καιρὸν τῆς φυγῆς ἀνεύρετοι τυγχάνουσι· συσχηματιζομένης δὲ καὶ ἐπὶ φάσεως καὶ τῇ

1 τυχ' δὲ : δὲ τύχῃ B P 2 λαβεῖν σημαίνει B εὑρεθήσεται, omisso τὸν φυγόντα B 3 τῇ om. P 4 παρέξουσι B τὸ om. P βαστάζειν B 5 ἐπιδύντων B τῇ suppl. καὶ om. B 6 τῇ om. P 6-7 καὶ Ἀφροδίτη om. B 7 ὡροσκοπήσας ἢ μεσουρανήσας P μηνύει P : σημαίνει B 8 τούτων εὑρεθησομένων B Leg ἐπιδυνότων ? cf. v. 5 et p. 156, v. 22, 24 περὶ om. B 9 ἐὰν δὲ om. B Ἑρμῆς γε B μεσίλιξ P τις om. B 10 ἐὰν δὲ Κρόνος P : Κρόνος δὲ B 10-11 ἐὰν δὲ Κρόνος P : Κρόνος δὲ καὶ B 11 Ἥλιος om. P ἔσται om. P 12-13 ἐπὶ δὲ – μηνύει] Ἄρης Ἀφροδίτη Ἑρμῆς ὡροσκόπῳ (signis astrol.) ἑρμαφρόδιτον σημαίνει 14 διὰ P κατισχημένους B 14-15 Leg. ἐν φρουρᾷ ? 15-16 παραδίδωσιν B 16 δὲ καὶ omis. B 17 μηνύει B 20 εἰ δὲ ante καθὼς add. P 21 εὑρίσκεται ἀπὸ τ. κ. B πρὸς ἀνατολὰς ἡ δυσμὰς καὶ τὰ ἄλλα omis. P 22 ἐν τούτῳ P μόνον om. P 23 ἀλλὰ om. B 24 δυτικὸν γὰρ B 25 ἡ Σελήνη om. P 28 ἀλοίοντες P τισι P 29 τῷ (prius) om. P

ὥρᾳ συμφωνούσης, ἄνευ βλάβης τινὸς τὴν εὕρεσιν ποιεῖσθαι δηλοῖ. οὔσης δὲ ἐν τῷ συνοδικῷ ζῳδίῳ λειψιφώτου καὶ μηδέπω τὰς τοῦ Ἡλίου συνεκδρομούσης αὐγάς, ἀσυνδέτου τε τῇ ὥρᾳ, ἀνεπάνοδον τὸν δρασμὸν ἐργάζεται· ὁμοίως καὶ ἔκλειψιν ποιουμένης. ἐν δὲ τοῖς συνδέσμοις ὡς ἐπὶ τὸ πλεῖστον ἐν δεσμοῖς τοὺς φυγάδας ἔσεσθαι μηνύει. καὶ τὰ ἀκούοντα δὲ ζῴδια καὶ βλέποντα προσπαραληπτέον· ἐν αὐτοῖς γὰρ γινομένη καὶ παροδεύουσα ἢ βλέπειν ἢ ἀκούειν τι περὶ αὐτῶν ποιεῖ· κἂν μηδὲν ἐνδεὲς ᾖ τῶν προδεδηλωμένων σχημάτων, εἴσω τοῦ πρώτου τετραγώνου λαμβάνονται· ἐὰν δέ τι ἐλάχιστον ἐνδεὲς ᾖ, εἴσω τοῦ δευτέρου, τουτέστιν εἴσω τοῦ διαμέτρου τῆς καταρχῆς· ἦν δὲ πάλιν ἐλλείπῃ <τι>, περὶ τὸ τρίτον τετράγωνον ἢ καὶ τὴν [τούτων] ἀποκατάστασιν τὴν τελείαν τοῦ κύκλου. ὁ δὲ Ἥλιος τούτων τὴν ἐμφάνειαν παρέξεται τετράγωνος ὢν ἐν τοῖς τετραγώνοις τῆς πανσελήνου· τρίγωνος δὲ ἐν τοῖς τριγώνοις τῆς συζυγίας· ἐπὶ δὲ τῶν τὴν βραδεῖαν εὕρεσιν ὑποφαινουσῶν καταρχῶν <τὰς> μονὰς ὁρίζειν χρὴ κατὰ τὴν τοῦ Ἡλίου κίνησιν τὴν γινομένην ἐν τοῖς τριγώνοις.

Καλαμβάνεται δὲ καὶ ἐπὶ τῶν γενέσεων τῶν δουλικῶν ἀπὸ τοῦ τοῦ Ἑρμοῦ ἀστέρος τὰ τῶν δρασμῶν· κακῶς γὰρ κειμένου ἢ ὑπὸ τῶν κακοποιῶν θεωρουμένου ἢ ἐνηλλαχότος τὰ ζῴδια ἢ καὶ τὰ ὅρια, μάλιστα δὲ μετὰ Ἄρεος, ἐν δὲ τῷ δυτικῷ καὶ τῷ ὑπὸ γῆν κέντρῳ εὑρισκόμενος ὁ θεὸς οὗτος καὶ χωρὶς κακοποιῶν δρασμοὺς ἀπεργάζεται· ὅθεν προσεκτέον τῇ πρὸς Ἥλιον αὐτοῦ κινήσει· ὑπὸ γὰρ τὰς αὐγὰς τυγχάνοντος, ὁ φυγὼν παραυτὰ κρυβήσεται· φυγόντος δὲ τὰς αὐγὰς καὶ ἀνατείλαντος φανήσεται καὶ προστεθικοῦ γενομένου ἐπανήξει. Ἄρεος δὲ ὄντος ἐν τῷ ζῳδίῳ ἐν ᾧ τὴν ἀνατολὴν ποιεῖται, [καὶ] συνοδεύσας πονηρῷ προσώπῳ ἀποσφαγήσεται· εἰ δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσουσι, τοῦ μὲν θανάτου ῥύονται, δεσμοῖς δὲ καὶ κακοῖς αὐτὸν περιβάλλουσι.

1 δηλοῖ om. P 2 ληψιφώτου P : λειψιφωτοῦσα corr. in λειψιφώτου B 2-3 Leg. ταῖς — αὐγαῖς? 3-4 ἀνεπάνοδος ὁ δρασμὸς ἀποτελεῖται B 6 μηνύσει P 8 τι evanidum P ᾖ B : ἢ P προδιδομένων P 10 ἢ ante ἐνδεές add. B ᾖ B : ἢ P εἴσω omis. B τοῦ B : τῆς P 10 εἴσω corr. : τῷ cod. 11 ἦν P : ἐὰν B πάλιν B : μᾶλλον P ἐλλείπει B <τι> suppl. 12 ἢ καὶ τὴν τούτου ἢ καὶ τὴν τούτων sic P τούτων del. 13 τετράγωνος P : τρίγωνος B 14 τριγώνοις B τετράγωνος δὲ ἐν τοῖς τετραγώνοις B 16 τὰς μονὰς corr. : μόνας B : εἰς ἡμέρας P 18 ἐπὶ corr. : ἀπὸ codd. τούτου P 19 ἀστέρα P In marg. rubr. ἀπό γενέσεως σκέψις τοῦ δρασμοῦ P κακῶς γὰρ B : κακὸς P τῶν omis. P 20 ἐναλλαχότος B : καὶ λαχόντος P καὶ omis. B 21 τοῖς δυτικοῖς καὶ τὸ P 22 θεὸς P : ἀστὴρ B 23 τὴν π. ἡ. ἀ. κίνησιν P 24 τυγχάνοντας B παρ' αὐτὰ B 26 τῷ om. B 27 καὶ del. συνοδεύουσα B εἰ B : οἱ P 28 θεωρήσουσι P Textus hic abrumpitur imo folio 175ᵛ. In marg. : " deest fol(ium) , P Cetera praebet solus B

Τῶν κρατούντων ἀστέρων παραφυλάσσειν χρὴ τὰ δωδεκατημόρια· ἐπὰν γὰρ συνεκπέσῃ εἰς τὸν ὡροσκόπον, ῥᾳδίως τέλους τυγχάνει τὰ πράγματα ἐπὶ πάσης καταρχῆς.

Λέγουσι δέ τινες ὅτι τῆς Σελήνης ἐν τῷ Ἡλίῳ ὑπαρχούσης ὁ φυγὼν πρὸς καιρὸν κρυβήσεται, διὸ ὁ τοιοῦτος μὲν παραυτίκα ζητηθεὶς εὑρίσκεται· ἐὰν δὲ μὴ παραυτίκα ζητηθῇ, δυσεύρετος γίνεται.

Καὶ περὶ μὲν δρασμῶν καὶ φυγῆς καὶ κλοπῆς τοσαῦτα.

4 Ἡλίῳ vix sanum. Locum vel signum expectes. 6 ἐὰν corr. : εἰ cod. ζητηθῇ corr. : ζητηθεὶς cod.

EXCERPTA EX CODICE 4 (PARIS. 2419)[1]

F. 1. Βιβλίον ἀστρονομικόν, περιέχον τὰς κρίσεις τῆς ἀστρονομίας, σὺν Θεῷ ἁγίῳ· οὗ ἡ ἀρχὴ περὶ ἀστρονομίας· πρῶτον τίς ἐφεῦρεν αὐτήν, ὅτε ἔδωκεν αὐτὴν ὁ Θεὸς εἰς τὸν κόσμον.

Ὁ Σὴθ[2] ἐφεῦρε τὸ μάθημα τῆς ἀστρονομίας, δι' ἀγγέλου Κυρίου· ὅθεν καὶ προγνοὺς τὰ μέλλοντα γενέσθαι, κατακλυσμοὺς διὰ πυρὸς καὶ ὕδατος, δύο πύργους ἀνῳκοδόμησεν λίθινον καὶ πλίθινον· ἐν οἷς καὶ τὸ μάθημα τῆς ἀστρονομίας συνέγραψεν, ἵνα, εἰ μὲν διὰ πυρὸς γένηται ὁ κατακλυσμός, μένῃ ὁ πλίνθινος. εἰ δὲ δι' ὕδατος γένηται ὁ κατακλυσμός, μένῃ, ὁ λίθινος· καὶ εἰς τὴν Παλαιὰν Διάταξιν λέγεται, ὅτι ὁ Αἰθίοψ ἐγέννησεν τὸν Νεβρὼδ[3] τὸν γίγαντα καὶ κυνηγόν· καὶ αὐτὸς πρῶτος εὗρεν τὴν μαγίαν καὶ ἀστρονομίαν, ὁ αὐτὸς δὲ καὶ ὁ κτίσας τὴν Βαβυλῶνα τὴν μεγάλην.

Paris. 2419, f. 1. Exstat et in cod. Vindob. 1, f. 177 1 περιέχων cod. 7 ἀνωκοδώμισεν cod. 9 μήνει cod. 10 μήνῃ cod. διάταξιν λέγεται corr. : λέξιν λέγει cod. 11 τὸν εὐρὸδ cod., cf. Genes. X, 9 κηνιγὸν cod. 13 κτήσας cod. βαβυλῶναν cod.

[1] Cum pars prior huius libelli iam prelo mandata esset, plura ex codice 2419 edidit socius nostri laboris Armandus Delatte in *Anecdotis Atheniensibus* (Leodii 1927) ubi et (p. 446) scripturam arcanam illius libri Parisini sagaciter explicavit.

[2] De Seth auctore astrologiae, cf. *Cat.*, II, p. 182, 26; Reitzenstein, *Poimandres*, p. 183; Bouché-Leclercq, *Astr.*, p. 578, n. 1. Narratio de duabus turribus, altera lapidea, altera fictili, est apud Iosephum, *Ant.*, I, 3 § 70.

[3] Cf. *Cat.* V, 1, p. 86, n. 2; Charles Haskins, *Nimrod the astronomer* (*The Romanic review*, V), 1914, p. 205 ss. = *Studies in mediaeval science*, 1924, p. 336-345.

Vettii Valentis fragmentum novum.

Codicem Vaticanum 191 [= Astr. Rom. 15], quo solo maior pars Vettii Valentis Anthologiarum ad nostram pervenit aetatem, contextum non integrum sed mancum et mutilum praebere iam suspicatus est Guilelmus Kroll, cum primus abstrusum et involutum opus ederet (p. XI), et collatis aliis fontibus plurifariam probari potest (cf. e. g. *Cat.* VIII, 4, p. 117 quae de duodecim locis adnotavimus[1]). Itaque sperare possumus in syntagmatibus Byzantinis plura ingentis illius farraginis detegere excerpta quae in Vaticano omissa sunt. Fragmentum quod hic editur et in codicibus duobus, arcte sane inter se coniunctis, Valenti tribuitur, revera ad celeberrimum mathematicum pertinere certissimis indiciis probari potest. Nam dicendi forma semidocti scriptoris tam peculiaris est ut primo obtutu agnoscatur : sermo eius ex lingua communi verba petere solet quae apud scriptores doctiores raro vel nusquam inveniuntur (cf. *Cat.* V, 3, p. 151 s.) et in hoc capitulo recurrunt. Si indicem graecitatis huius libelli nostri cum indice editionis Krollianae contuleris, vocabula insolentiora plurima in utroque invenies. Nonnulla hic enumerare sufficiet : ἀγωνία, ἀηδία, ἀθέτησις (= *perturbatio*), αἰμαγμός, ἀκαταστασία, ἀλλοτρίωσις, ἀναστροφή, ἀνυστικός, ἀπαλλοτρίωσις, ἀποτελεστικός, ἀπραγία, ἀπρόκοπος, ἀχαριστία, βιωτικός, δειγματισμός, διακοπαί, εἰσοδιασμός (εἰσοδιάζειν), ἐκδημία, ἐξοδιασμός, ἐπίθεσις (= *impostura*, *fraus*), ἐπιθέτης, εὐφόσυνος, εὐχερῶς, κακοπάθεια, κινητικός, κρυβή, λῃστρικός, μετεωρισμός (= *vitae perturbatio*), ναυάγια, νωχελής, νωχελία, ὄχλησις, ὄχλοι, περιποιεῖν, πολυμέριμνος, σκυλμός, συμπώματα, συναρμογή (= *coniugium*), συνήθεια (*cum muliere*), σύστασις (= *cognitio*), ταραχώδης, ὑπερέχων (= *homo potens*), χειρισμός.

Sed et locutiones quas Valens adamabat interdum in hoc excerpto occurrunt :

Cf. p. 164, 7 : ἐν εἱρκταῖς καὶ δεσμοῖς	P. 209, 9 Kr. : ἐν δεσμοῖς ἢ συνοχῇ et 209, 22 : ἐν συνοχαῖς ἢ εἱρκταῖς.
P. 165, 6 : πραγμάτων κατορθώσεις	P. 41, 19 : πράξεων κατορθώσεις. 191, 11 ; 241, 1 : κατόρθωσιν πραγμάτων.
P. 165, 8 : ποιεῖ τὰς ἀναστροφὰς ἐνδόξους	P. 355, 16 : ἀναστροφὰς κοσμίως .... ποιούμενος.
P. 166, 3 : τελεῖ νόσους ἐπισφαλεῖς. Cf. 167, 11.	P. 96, 2 : ἀποτελεῖ νόσους ἐπισφαλεῖς.

[1] Excerptor saeculo V vixisse videtur, quae est aetas additamentorum vetustorum (p. 365 ss. Kr.).

P. 168, 1 : ῥευμάτων ἐπιφορᾶς.

P. 168, 7 : αἰφνιδίους κινδύνους ἀπὸ ὕψους ἢ τετραπόδων πτώσεως.

P. 168, 29 : μετεωρισμοὺς ψυχῆς, ἀκαταστασίας. Cf. p. 167, 20; 169, 27.

P. 169, 5 : σκυλμοὺς καὶ ταραχὰς καὶ γυναικῶν λύπας... καὶ γυναικῶν ἀκαταστασίας. Cf. 167, 7, 10.

P. 169, 14 : περικτήσεις, προκοπάς.

P. 170, 2 : συστάσεις, γνώσεις.

P. 170, 11 : ἐν ἀποδημίαις ἐξόδους ἀκαίρους.

P. 170, 12 : λήμματα καὶ ἀναλώματα.

P. 170, 16 : ἀσθενείας καὶ ψυχικὰς καὶ βιωτικάς.

P. 170, 21 : ἐνέδρας καὶ κλοπὰς καὶ ἐπιθέσεις.

P. 171, 15 : πτώσεις·ἢ αἱμαγμούς.

P. 193, 31 : ῥευμάτων ἐπιφοραῖς.

P. 210, 32 : αἰφνίδιοι κίνδυνοι. P. 196, 3 : ἢ ὕψους ἢ τετραπόδων κίνδυνον, P. 3, 9 : πτώσεις ἀπὸ ὕψους ἢ τετραπόδων. Cf. 43, 6; 127, 16, etc.

P. 198, 10 : μετεωρισμοὺς καὶ ἀκαταστασίας. P. 201, 12 : μετεωρισμοὺς καὶ ψυχικὰς βασάνους. P. 288, 36 : μετεωρισμοὺς ψυχῆς.

P. 225, 24 : γυναικὸς.. ταραχὰς καὶ σκυλμούς. P. 197, 4 : χωρισμοὺς θηλυκῶν προσώπων καὶ ἀκαταστασίας.

P. 225, 28 : περικτήσεις, παιδοποιίας, προκοπάς.

P 2, 25 : συστάσεις, γνώσεις.

P. 99, 9 ; τῷ κλήρῳ τῷ περὶ ἀποδημίας ἐξόδους. Cf. 100, 6.

P. 1, 10 : λήμματα καὶ ἀναλώματα.

P. 236, 34 : ἀσθενείας καὶ βιωτικὰ συμπτώματα.

P. 73, 11 : καὶ ἐνέδρας καὶ δόλου καὶ ἐπιθέσεως. Cf. 74, 19

P. 58, 26 : αἱμαγμοῖς, πτώσεσιν. Cf. 160, 12; 210, 31.

His locutionibus, quibus multa alia addere possemus, collatis, neminem iam dubitaturum esse confido, quin revera ex *Anthologiis* haustum sit hoc capitulum, quamvis fortasse ab excerptore Byzantino decurtatum sit. De argumento, cf. fragmenta περὶ ἐπεμβάσεων Orphei et Anubionis in *Cat.* II, pp. 198 et 202 edita, quae tamen ab hoc omnino differunt, et ipsum Valentem, l. VI c. 4 (p. 261, 8).

Definitio obscura ἐπεμβάσεως invenitur in excerpto quod in codice Parisino capitulo Valentis adnectitur (cf. supra p. 25) :

F. 23ᵛ : Ἰστέον ὅτι ἐπέμβασις λέγεται ὅταν ἀπὸ τῶν ἀντιγενέσεων τὸ διάθεμα κατέχοντες τῆς γενέσεως ἀπὸ τοῦ ὡροσκόπου ἐξάγοντες τοὺς χρόνους καταντήσωμεν εἷς [ἃς cod.] τι ζῴδιον, καὶ λέγεται τότε ἐπέμβασις τοῦ ἀριθμοῦ [signo math.] ἐκείνου κατ' ἐκεῖνο τὸ ζῴδιον. — Cf. tamen Krollium in *Göttinq. gelehrten Anzeigen*, 1900, p. 911 (1).

[1] Occasione oblata nonnullas ad textum Valentis observationes adiungere mihi liceat : P. 29. De die quadragesima cf. *Cat.*, VIII, 4, p. 206, n. 1. — P. 34, v. 6 et 26 ubi Καίσαρος pro Augusto. Legendum Καίσαρος <Αὐγούστου>? cf. e. g. *Cat.* VIII, 3, p. 239, 16. — P. 62 ss. Cf. quae *Cat.* VIII, 4, p. 117 de fonte capitulorum de duodecim locis dixi et ibidem Rhetorium, p. 126 ss. — P. 106. 1 ss. descripsit

[F. 21ᵛ.] Τοῦ σοφωτάτου Οὐάλεντος περὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων κατὰ θεματίου καὶ γενεθλίου.

Περὶ <τοῦ> Κρόνου.

Ὁ Κρόνος ἐλθὼν εἰς τὸν ὡροσκόπον τὰς μὲν ἀρχὰς ἔχει καλάς· ποιεῖ γὰρ συστάσεις καὶ ὠφελείας καὶ περικτήσεις· τὰ δὲ ἔσχατα διερχόμενος λύπας καὶ βλάβας, καὶ κινδύνους ἐπιφέρει τοῖς τόποις τούτοις· ἐὰν δὲ ἔλθῃ εἰς τὸ μεσοὐράνημα, ποιεῖ τὰ ὅμοια τῷ ὡροσκόπῳ, ἐν δὲ τοῖς πράγμασιν καὶ ταῖς βλάβαις ἠπιώτερος, πρὸς δὲ τὰς τοῦ βίου πράξεις βραδύτερος μὲν καὶ νωχελής, πολύπρακτος δὲ μετὰ βίας· ἐν δὲ τῷ δύνοντι ταραχώδης καὶ κινδυνώδης· ποιεῖ γὰρ ἀποβολὰς καὶ δάκρυα καὶ ἀθυμίας ψυχικὰς καὶ δι' ἀλλοτρίων ζημίας καὶ ἀπ' ὑγρῶν κινδύνους καὶ ἰδίων ἀλλοτριώσεις. ἐν δὲ τῷ ὑπὸ γῆν γενόμενος τὰ αὐτὰ ἀποτελεῖ, πλὴν ἐν τῷ τόπῳ τούτῳ καὶ νόσους ἐπικινδύνους καὶ φόβους.

Ἐὰν δὲ ἔλθῃ ἐπὶ τὸν τοῦ Διὸς ποιεῖ συκοφαντίας, ζημίας ἢ παλαιῶν πραγμάτων ἀνάλωσιν καὶ ἀναγκαίων θανάτους καὶ εἰς

P(arisinus f. 21ᵛ, cap. ιη′). **V**(indobonensis phil. Graec. 108 [= Astr. 1], f. 207ᵛ, cap. κη′) Orthographica pleraque neglexi 1-3 σοφοτάτου ὁ ἄλεντος (sic) ἐπέμβάσ(εις) κατὰ θεματίου καὶ γενεθλίου V Περὶ Κρόνου in mrg. P : omis. V, qui in mrg. compendia praebet verborum μεσουράνημα, δυτικός ὑπόγειον, Ζεύς, Ἄρης, Κρόνος etc. singulis commatibus adscriptorum, usque ad finem. 4 τὸν omis. P 5 ὀφελεῖας sic P 7-8 τοῦ ὡροσκόπου P 8 ἐπὶ ὥτερος codd., corr. 8-9 πρὸς δὲ τὰ τέλ(η) τοῦ βίου πράξαις ut. vid. V 9 νωχελεῖς P 10 τῷ] τὸ codd. ταραχώδες V 11 ἀλλοτρίου V 12 ἀγρῶν codd., corr. Delatte ; cf. 166, 3; 168, 1, 19 κινδύνους V : ζημίας P δὲ omis. V 13 ὑπογ(είῳ ?) P 16 ἀνάνειωσ' sic V (omis. καὶ) Leg. ἀνανέωσιν ? cf. p. 166, 17 Post θανάτους] καὶ εἰς ἀλοτρίων θανάτους καὶ εἰς ἀλοτρίους P

Rhetorius; cf. *Cat.* VIII, 4, p. 204, 10 ss.; l. 7 leg. ἀναχθέντες; l. 19, fortasse ἐλευθέρως ἀνατραφήσονται. — P. 106, 25 ss. = Rhetor. ibid., p. 203, 22 ss. — P. 121, 32, cf. ibid., p. 169, 7. — P. 136, 10, cf. capit. Rhetorii ιϛ′ quod ex codice 10, f. 20ᵛ infra edetur. — P. 179, 11, cf. *Cat.* II, p. 158, 18 ss., ex quo codicem Vaticanum Valentis supplere licet. — P. 190. Ἐπιμερισμοὺς Ἡλίου librarii errore, ut videtur, omissos esse iam observavit Ruelle, *Cat.* VIII, 2, p. 101, n. 1. Recte, nam capit. 17-24 libri IV ex Critodemo excerpta esse adnotavimus *Cat.* VIII, 3, p. 102, n. 1; apud Critodemum autem caput Solis invenitur primo loco ante Lunae. — P. 194, 30 leg. πρὸς ὑπερέχοντος, cf. 61, 30. — P. 242, 18, νηπτικόν perperam correxi) cf. indicem Krollii et Hermet. Trism., *Poem.*, VII, 1, p. 54, Parthey : νήψαντες, Philon. *De opif. mundi*, 70 (I, p. 23, C-W) : μέθη νηφαλίῳ, etc. — P. 263, l. 20 : τῶν τε <ε′> λοιπῶν, (i. e. πέντε), cf. 293, 26 — P. 314, 17 : ὁρώμενον. Lege πεπρωμένον, cf. 131, 9; 220, 31. — P. 334, v. 4 et 18, l. δωδεκατόπου, item v. 20, ὀκτάτοπον, cf. *Cat.* VIII, 4, p. 126, 12. — P. 343, 36. Fort. ἀμεταστρόφως. — De numeratione capitulorum, in codice V, cf. infra adnot. ad Rhetorii cap. περὶ χρόνων ζωῆς (ex cod. 10, f. 20ᵛ).

ἀλλοτρίους δαπάνας καὶ πρὸς ὑπερεχόντων δυσωπείας καὶ ἐπιθέσεις. ἐν δὲ τῷ τοῦ Ἄρεως ἐλθὼν ποιεῖ σωματικοὺς κινδύνους, ἀλλοτριώσεις, ἰδίων ζημίας, ἁρπαγὰς καὶ ἀθυμίας, ἔχθρας πρὸς ἰδίους καὶ ἀλλοτρίους, δικασίας καὶ ἐπιθέσεις. ἐὰν δὲ ὁ Κρόνος ἐφ' ἑαυτὸν ἔλθῃ, ἀποδημίας ἐστὶν κινητικὸς ἀνωφελοῦς, πολλάκις δὲ <κακῷ> περιβάλλει· ἔστι δὲ πραγμάτων κινητικὸς καὶ ἀγωνίας ἐμποιῶν, <ἔσθ'> ὅτε δὲ καὶ εἱρκταῖς καὶ δεσμοῖς περιβάλλει, ἔσθ' ὅτε καὶ θανάτους γονέων καὶ φίλων περιποιεῖ, ἀλλὰ καὶ ἀναλωμάτων ἐστὶ περιποιητικός, ἐπὶ ἰδίων καὶ ἀλλοτρίων ἀκαταστασίας, φίλων δὲ προδοσίας, ἀθυμίας, ταραχάς, διὰ γυναικὸς ζημίας καὶ ταραχὰς καὶ λύπας καὶ ὑπ' ἐνίων ἀχαριστίας καὶ δειγματισμοὺς καὶ ῥευμάτων ἐπιφοράς. ἐπὶ δὲ <τὸν> τοῦ Ἑρμοῦ ἀφικόμενος ἀπὸ γραμμάτων τελεῖ καὶ πραγμάτων καὶ λόγων καὶ κοινωνιῶν καὶ δούλων καὶ τέκνων ζημίας καὶ λύπας· τελεῖ δὲ καὶ ὑπὸ ἐνίων βλάβας, ἐπιορκίας, ἀθυμίας, ἀποβολάς. ἐὰν δὲ ἐπὶ τὸν Ἥλιον ἀφίκηται, ποιεῖ τόπων μετακινήσεις ἀκαίρους καὶ κινδύνων ἐπαγωγὰς καὶ ζημίας καὶ ἀπραξίας καὶ ὅσα δ' ἂν διαπράξηται, μετὰ βίας τελεῖ, καὶ ῥευμάτων καὶ ἐκζεμάτων ἐπιφορὰς καὶ ὀφθαλμῶν ἀμαυρώσεις. ἐπὶ δὲ τὴν Σελήνην ἐλθὼν νόσων ποιεῖ ζημίας. εἴωθεν δὲ καὶ ἐξ ὕψους καταβάλλειν καὶ εἰς ὕψος ἀναίρειν. πάντα γὰρ οὗτος ὁ ἀστὴρ εὐεργετήσας ἐπὶ τῆς γενέσεως αὐτὸς πάλιν ἀφαιρεῖται.

Καὶ περὶ γενεθλίου·[1] Ἐὰν δὲ ἔλθῃ ἐπὶ τὸ τετράγωνον τῆς γενέσεως, τὰς μὲν πράξεις εὐλυτωτέρας ποιεῖ καὶ ἀρχαίων πραγμάτων διοικήσεις, ἐκδημίας δὲ ἀνωφελεῖς· ἐὰν δὲ ἔλθῃ εἰς τὸ τρίγωνον, ὅσα μὲν πρὸς πρᾶξιν καὶ ζημίαν εὐχερῶς τὰ πράγματα διοικονομεῖ, ὅσα δὲ πρὸς φίλους ἀπροκόπως σημαίνει· ἐὰν δὲ εἰς τὸ διάμετρον τῆς γενέσεως ἔλθῃ, κατὰ πάντα ἕξει ζημίας, ἀναγκαίων ἐπιβουλάς, ψυχικὰς ἀθυμίας, ἀχαριστίας, ἰδίων χωρισμούς, ἀθεσίας φίλων, ἀναγκαίων ἔχθρας καὶ νόσους ἐπικινδύνους· ἐὰν δὲ ἔλθῃ εἰς τὸ ζῴδιον οὗ ὁ ἐνιαυτὸς κατάγηται, ἀποτελεῖ στενοχωρίας καὶ βλάβας καὶ ἀπραγίας καὶ γυναικῶν χωρισμοὺς καὶ ἐπιθέσεις.

1 εἰς ὑπερέχοντας P 4 διγλαστίας sic V. An διαδικασίας? Delatte 5 κινητικῶς P ἀνωφελεῖς P 6 κακῷ suppl. κινητικῶς P 7 ἔσθ' suppl. 7-8 ἐστ' ὅτε V 10 διὰ γυναικὸς] signa cryptographica P 10 καὶ ταραχὰς omis. V 11 ὑπ' ἐνίων] ἐνυπνίων coni. Thomas δηματισμούς codd.; corr. Vox apud Valentem frequens. 12 καὶ ἐπιφθοράς V τὸν suppl. 14 ἐνίων corr, cf. 11 : ἐνὶ sic codd. : ἰδίων coni. Delatte 15 ἀποβολάς V : ἐπιβουλάς P ἀφικεῖται codd. τόπον V 17 ἴσα ἂν διαπράξετε P 18 ἐνζεμάτων codd., corr. Delatte 19 ἐλθὸν P νόσου P ἔωθεν P 20 πάντοτε V 21 τῆς omis. V αὐτῆς P 22 περὶ V : ἐπὶ P ἔλθοι V τω τετραγώνῳ P : τετράγωνον V 24 διηκοίσεις P δὲ V : τε P 25 εὐχερὸς V τὰ iter. V 26 απροκόπος sic P : ἀπροκόπ' V : ἀπροσκόπως coni. Delatte 27 πάντα P : τὰν vel τειν V. Leg. γῆν?

[1] Cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 506.

Περὶ τοῦ Διός.

Ὁ Ζεὺς ἐλθὼν εἰς τὸν ὡροσκόπον ποιεῖ τιμὰς καὶ δόξας, φανερώσεις ἐν ὄχλοις καὶ περικτήσεις καὶ πραγμάτων κατορθώσεις καὶ τοῖς γεγαμηκόσιν τέκνα, ἀποβολὴν δὲ τῶν ἀπὸ τοῦ αἵματος. ἐπὶ δὲ τοῦ μεσουρανήματος ἐλθὼν ποιεῖ τὰς ἀναστροφὰς ἐνδόξους, πραγμάτων κατορθώσεις, μεταβολὰς ἐπὶ τὸ κρεῖττον καὶ προσόδους καὶ συστάσεις. ἐπὶ δὲ τὸ δῦνον ζῴδιον ἐλθὼν ἄγει λύπην ἀκατάστασίαν τε βίου καὶ σώματος, τέκνων καὶ ἀναγκαίων ἀποβολάς. ἀφ' οὗ δὲ παραλλάξει ἀπὸ τοῦ ζῳδίου τοῦ ἀποκρύπτοντος, μεταβάλλει οὗτος ἐπὶ τὸ κρεῖττον. ἐπὶ δὲ τὸ ὑπόγειον ἐλθὼν ἐν ἀρχαῖς ἀποκρυπτῶν πραγμάτων ἀτελέστων ἢ [τετελειωμένων προδιοικήσεις χρονίας σημαίνει, τὴν δὲ ψυχὴν κατάλυπον καὶ πολυμέριμνον.

Ἐπὶ δὲ τὸν Κρόνον ἐλθὼν, τελεῖ πραγμάτων ἀποκοπὰς ἀσυμφόρους ζημιώδεις· ὅσα γὰρ διοικηθῇ ἐν ἐκείνῳ τῷ χρόνῳ, ἔσται τελούμενα ἐπιζήμια ἢ δαπανηρά. ἐπὶ δὲ τοῦ ἑαυτοῦ τόπου ἐλθὼν κατὰ πάντα ἔσται ἀσύμφορος, πλὴν ὅτι διαβολὰς καὶ μέμψεις ποιεῖ χάριν οὐδαμινῶν πραγμάτων. ἐπὶ δὲ τὸν Ἄρεα ἐλθὼν ἀσύγκριτος ἔσται ὁ καιρὸς πρὸς εὐποιΐαν καὶ δόξαν, πάσας δὲ τὰς πράξεις καὶ τὰς διοικήσεις μετὰ ἀθυμίας ἀποτελεῖ. ἐπὶ δὲ τὴν Ἀφροδίτην ἐλθὼν συναρμογάς τε ἀγάμων καὶ γάμους καὶ συνηθείας ποιεῖ, γεγαμηκόσιν δὲ τέκνα, λέσχας δὲ καὶ λύπας, τὰς δὲ τοῦ βίου πράξεις εὐλογωτέρας καὶ ἐπωφελεῖς. ἐπὶ δὲ τοῦ Ἑρμοῦ ἐλθὼν τελεῖ ἐργασίας καὶ κινήσεις ἐκ τόπου ἐπωφελεῖς, λήψεις

1 ἔλθοι V οὗ αὐτὸν ἑναυτὸν κατάγηται P : οὗ τὸν ἑναυτον κατάγητε V. correxi, cf. ὁ καταγόμενος ἔτος apud Valentem 36, 11, 19 etc. et infra p. 169, 11 De signo agit quod anno praesidet secundum " dodecaeteridem Chaldaïcam ". Post κατάγηται addit P : ἤγουν ταπεινωμ(ε)να (sic) ἢ ἄλλον τι, quod glossa esse videtur 4 Περὶ τοῦ Διός P : ἐπεμβάσεις ὁ τοῦ Διός *sic* V 5 ὁ omis. V ἐλθὼν ἐπὶ τοῦ ὡροσκόπου V καὶ omis. V 6 καὶ ante πραγμ. omis. P 7 τοῖς omis. V τῶν] τὸν V 8 ἐλθὸν P : omis. V ἀνατροφὰς codd., corr., cf. Valentis indicem 10 συστάσεις V : ἐκφύσεις P; cf. infra p. 166, 12; Valent., p. 290, 4 : φιλίας, συστάσεις, ὠφελείας et indicem Krollii, s. v. 10 ἐλθὸν P 12 μεταβολλὰς sic P 13 μεταβάλλοι V 14 ἐν ἀρχαῖς] cf. p. 166, 9, ἐν ἐσχάταις Leg ἀποκρύφων? sed cf. 166, 28 ἀτελεσθάτων ἢ τελειὸμένων *sic* P 17 ἐλθὸν P 18 ἔσται V : ἐστὶν P 19 αὐτοῦ P 20 ἐστὶν P 21 ἔλθον codd. 22 ἐστὶν P πρὸς P : εἰς V 24 ἐλθὸν codd. ac sic saepe deinceps τε P : δὲ V 25 λέσχας] cf. infra 166, 28 δὲ omis. P

καὶ δόσεις καὶ κοινωνίας ἐπικερδεῖς· εὐλογωτέρας γὰρ ποιεῖ τὰς τοιαύτας πράξεις τοῖς τοιούτοις τόποις. ἐπὶ δὲ τοῦ Ἡλίου ἐλθὼν τελεῖ νόσους ἐπισφαλεῖς, ἀπὸ ὑγρῶν κινδύνους καὶ ναυάγια καὶ ῥευμάτων ἐπιφοράς· ἀσυμφόρους ἐξοδιασμούς καὶ λύπας τοῖς βιωτικοῖς ἐμποιεῖ.

Καὶ περὶ γενεθλίου· Ἐπὶ δὲ τὴν γένεσιν ἐλθὼν ποιεῖ νωθρότητα σωμάτων καὶ πράξεων ὁμοίαν, πλὴν ἀγάμων γάμους. εἴωθεν δὲ καὶ τέκνα διδόναι καὶ τῷ βίῳ προσθήκας ποιεῖν. ἐπὶ δὲ τὸ τρίγωνον τῆς γενέσεως ἐλθὼν τὰς μὲν ἀρχὰς ταράσσει, ἐν ἐσχάταις δὲ εὐπορείας καὶ πράξεις περιποιεῖ· εἰς δὲ τὸ τετράγωνον ἐλθὼν τελεῖ ὠφελείας πολυπροσώπων πραγμάτων· οἰκονομικὸς γάρ ἐστι καὶ καλὸς πρὸς συστάσεις καὶ δόξας. ἐπὶ δὲ τὸ διάμετρον ἐλθὼν ὠφελείας πολυπροσώπων πραγμάτων δίδωσιν καὶ κτῆσιν καὶ γεγαμηκόσιν τέκνα· καὶ ἐπ' ἐνίοις λυπεῖ· ψύχει δὲ καὶ ταράσσει τὰς πράξεις καὶ φόβους ἐμποιεῖ.

Περὶ τοῦ Ἄρεως.

Ὁ τοῦ Ἄρεως ἐλθὼν εἰς τὸν ὡροσκόπον τελεῖ πραγμάτων ἀνανεώσεις ἀπὸ ἐξαίματος· θορυβεῖ γὰρ τὸν βίον καὶ μάλιστα διὰ γυναικῶν· πρὸς δὲ γυναῖκας καὶ φόβους ποιεῖ καὶ νόσους καὶ κακός ἐστιν κατὰ πάντα. εἰς δὲ τὸ μεσουράνημα ἐλθὼν** ὠφέλιμος δὲ εἰς ἀκρωτηρίων κοπὰς καὶ ὀμμάτων κινδύνους· καὶ πτώσεως ἢ ἐμπρησμῶν ἢ ὄχλων ἢ τετραπόδων αἰφνιδίους ἐπιφέρει κινδύνους, πρὸς δὲ τὰς διοικήσεις καὶ ὠφελείας οὐκ ἄχρηστος. εἰς δὲ τὸ δῦνον ἐλθὼν λίαν ἐστὶν ἀηδής, καὶ γὰρ τὴν οἰκίαν καὶ τὸν βίον ταράσσει, καὶ μάχας ποιεῖ καὶ ἐπιβουλὰς καὶ ψυχῆς φόβους, μάλιστα δὲ διὰ γυναῖκας, γεγαμηκόσιν δὲ καὶ γυναικῶν κλιμακτῆρας. εἰς δὲ τὸ ὑπόγειον ἐλθὼν ποιεῖ ἐξοδιασμοὺς ἀκαίρους καὶ κινήσεις ἀνωφελεῖς καὶ κρυπτῶν πραγμάτων ἕνεκα λέσχας, καὶ κατὰ πάντα κακός ἐστιν καὶ πρὸς βίον καὶ πράγματα καὶ συστάσεις.

1 γὰρ omis. P 3 ἐπιδραλεῖς ? P ὑπὸ ὑγειῶν P 4 ἐξοδιασμοὺς V : ἐξόδους P καὶ omis. V 4-5 τὰς βιωτικὰς V, cf. Valentem, p. 286, 14, etc. 6 ἐπὶ δὲ omis. P 6-7 νοθρότηταν P 7 ὁμοί(αν) dubium. Leg. ὁμοῦ? ἀγάμου V 8 ποιεῖ P 9 τὰς μὲν post ἀρχὰς repet. P 12 προσυστάσεις V 13 ἀφελείας codd., corr., cf. 11 κτίσιν V 14 ἐπὶ ἐνίων P ψυχὴ V : ψύχη P; corr., cf. Val. 44, 28, ψύχοντας (= impedientes) τὰς πρώτας πράξεις 16 περὶ τοῦ Ἄρεως P : ἐπεμβάσ(εις) τοῦ Ἄρεως V 17-18 Leg. ἀναστατώσεις vel simile quid ? 18 ἐξ αἵματος P : ἐξέματος V. An ἐκζέματος ? Delatte, qui lacunam post ἀνανεώσεις statuit 19 πρὸς δὲ P : καὶ πρὸς V καὶ νόσους ποεῖ (om. καὶ φόβους) V 20 εἰς δὲ τὸ μεσουράνημα — 23 ἄχρηστος post 26 κλιμακτῆρας transp. V 20 Lacunam sign. Delatte 21 δὲ] Leg. ἐστί ? 22 ἐμπρησμόν V ἐπιφέρει V : φέρει P 24 δῦνον ζώδιον V ἀηδεῖς P οἰκείαν P 25 μάλλισθα P 26-27 ἐν δὲ τὸ ὑπογείῳ sic P 28 πάντας codd.; corr.

Ἐπὶ δὲ τὸν τοῦ Κρόνου ἐλθὼν λίαν ἐστίν ἔμπρακτος καὶ ἱλαρὸς καὶ βιωφελὴς κατὰ πάντα. ἐπὶ δὲ τὸν Δία ἐλθὼν λίαν ἐστὶ ταρακτικὸς καὶ ζημιώδης καὶ δειλοποιός. ἐφ' ἑαυτὸν ἁπλοῦς γενόμενος χείρων ἐστι καὶ ἀηδὴς καὶ κινητικός· σημειοῦ δὲ τὸν ἀστέρα ἐν ἐκείνῳ τῷ χρόνῳ λίαν ὄντα πονηρὸν κατὰ πάντα. ἐπὶ δὲ τὴν Ἀφροδίτην ἐλθὼν πρὸς θηλυκὰ πρόσωπα συνάπτει καὶ διὰ θηλυκὰ πράγματα ἀνωφελεῖς ἀκαταστασίας ποιεῖ καὶ καταγνώσεις καὶ διὰ προσχήματα γυναικῶν ἐν πᾶσιν θορυβώδης ἐπὶ δὲ τὸν Ἑρμῆν ἐλθὼν ποιεῖ δόλους καὶ κεκρυμμένα πράγματα καὶ φόβους καὶ κλοπάς, ἀκαταστασίας φίλων, οἰκιακῶν ἐνέδρας καὶ ἀποστερήσεις καὶ ἐπιορκίας. ἐπὶ δὲ τὸν Ἥλιον ἐλθὼν ποιεῖ νόσους ἐπισφαλεῖς, οἰκίας μεταβάσεις καὶ κινήσεις, ἀποδημίας αἰφνιδίους, ἀπὸ ὄχλου καὶ πυρὸς καὶ αἵματος <καὶ> κακούργων φόβους, καὶ πτώσεως καὶ ἀπὸ τετραπόδων κινδύνους.

Περὶ γενεθλίου. Ἐὰν δὲ ἔλθῃ ἐπὶ τὸ γενέθλιον, κατὰ πάντα σημειοῦ τὸν ἀστέρα. νοσώδης γὰρ καὶ ζημιώδης ἐστὶν καὶ ἄπρακτος καὶ ἐπικίνδυνος, εἰς ὑποψίας ἄγων ματαίας καὶ ἀγωνίας ψυχῆς καὶ προσγενῶν ἀκαταστασίας. ἐὰν δὲ ἔλθῃ εἰς τὸ τῆς γενέσεως τρίγωνον, θορυβώδης οὐδαμινῶν πραγμάτων ἕνεκεν καὶ μάλιστα διὰ γυναῖκας· μετεωρισμοὺς γὰρ καὶ μερίμνας ἀκαίρους ποιεῖ. ἐὰν δὲ ἔλθῃ εἰς τὸ τετράγωνον τῆς γενέσεως, ποιεῖ λογομαχίας πρὸς θηλυκὰ πρόσωπα καὶ βιωτικὰς βλάβας καὶ σωματικὰς ἐπιζητήσεις. ἐὰν δὲ ἔλθῃ εἰς τὸ διάμετρον τῆς γενέσεως, ἥττόν ἐστιν κάκιστος καὶ πονηρός.

Περὶ τοῦ Ἡλίου.

Ὁ Ἥλιος γενόμενος ἐν τῷ ὡροσκόπῳ ποιεῖ ἀσθενείας, μετεωρισμούς, κινδύνους, κινήσεις· τοὺς δὲ ἤδη προπεπονθότας πρὶν ἐλθεῖν αὐτὸν εἰς τόπον ῥώννυσιν. *** ἐπὶ δὲ τὸν ἴδιον τόπον ἀφικόμενος ποιεῖ μερίμνας καὶ κακοπαθείας ψυχῆς, ταραχάς, φόβους ματαίους καὶ κινήσεις ἐξ οἰκείων· ἐπὶ δὲ τὸν Κρόνον ἐλθὼν ἀπὸ

1 ἐμπρακτικός P ; cf. 168, 20 et Val. indicem 2 Δία V : Ἄρεα P 3 ταρακτικός scripsi : πρακτικός codd., cf. p. 169, 20, 30. ἁπλοῦς V : δὲ P 6 πρὸς θηλυκὰ πρόσωπα signis cryptogr. P συνάπτοι V : συναπτ' P 8 θορυδης sic P 9 κεκριμένα P 9-10 καὶ ante κλοπὰς om. V 10 οἰκειακῶν P : οἰκιακὸν V ἀποστερώσ(εις) V 11 ἐπισφαλὲς codd., corr., cf. p. 166, 3 ; Val. 196, 2 12 οἰκείας P 13 καὶ suppl. κακούργον φόβων V καὶ καὶ ἀπὸ sic P 15 περὶ γενεθλίου in marg. P : omis. V 17 καὶ ὑποψίας ἄγων μαντίας καὶ ἀγόνιας P ; cf. v. 29-30 17-18 προσγενῶν καὶ codd., transp. 19 θορυώδης *sic* P μάλισθα P 21 τρίγωνον V ἐνλογομαχίας P 23 τῆς omis. V ἥττων ἐστὶ κάκιστον καὶ πονηρόν P Capit. Περὶ τοῦ Ἡλίου post cap. Περὶ τοῦ Ἑρμοῦ transp. V, qui astra duo maiora a ceteris planetis ita secernit 26 Titul. Ἐπέμβασις Ἡλίου V 27 ἤδη corr. : ἔδη V : ἔδει P 28 Multa hic desunt 30 Leg. οἰκιῶν ? cf. v. 12 30-168, 2 ἐπὶ δὲ τὸν Κρόνον — ἀνυστικὸς post μέμψεις, p. 168, 4, transp. V

ὑγρῶν κινδύνους καὶ πάθη ἢ ῥευμάτων ἐργάζεται ἐπιφοράς· πρὸς δὲ τὰς πράξεις ἀνυστικός. ἐπὶ δὲ τὸν Δία ἀφικόμενος ἀηδὴς ἐστιν καὶ πρὸς ὄχλον καὶ πρὸς ὑπερέχοντας· καὶ φίλους*** καὶ διαβολὰς καὶ μέμψεις, τὰς δὲ τοῦ βίου πράξεις εἰσανύειν· ἐπὶ δὲ τὸν Ἄρεα ἐλθὼν ἀηδίας ποιεῖ καὶ ληστείας, ὄχλων ἐφόδους, κινδύνους, ἐμπρησμούς, αἱματμοὺς καὶ χειρισμούς, περιπνιγὰς ἀπὸ κλιμακτήρων καὶ μάλιστα αἰφνιδίους κινδύνους ἀπὸ ὕψους ἢ τετραπόδων πτώσεως καὶ φόβους οἰκείων καὶ μεταστάσεις ἀποδημίας τε αἰφνιδίους καὶ ὀρκίσεως κινδύνους. ἐπὶ δὲ τὴν Ἀφροδίτην γενόμενος τοῖς μὲν ἔχουσι γυναῖκας περὶ γυναικῶν κινδύνους ποιεῖ καὶ διὰ γυναῖκας ἀηδίας καὶ μέμψεις· πρὸς δὲ τὴν τοῦ βίου πρᾶξίν ἐστιν ἀνυστικός. ἐπὶ δὲ τὸν Ἑρμῆν ἀφικόμενος τὰ κρυπτὰ φανερὰ ποιεῖ καὶ οἰκιακῶν ταραχὴν καὶ μάχας πρὸς οἰκείους διοικητάς· εἰς δὲ τὰς πράξεις οὐ φαῦλος, μετὰ νωχελείας μέντοι.

Περὶ γενεθλίου. Ἐὰν δὲ ἔλθῃ εἰς τὸ γενέθλιον μετεωριστικός ἐστιν καὶ μεριμνοποιός, ἔτι δὲ καὶ ἀσθενείας ἐργάζεται· τὰς δὲ πράξεις τοῦ βίου πρὸ πολλοῦ ἀτελεῖς διοικονομεῖ πρὸ ἐξόδου. ἐὰν δὲ εἰς τὸ τετράγωνον ἔλθῃ τῆς γενέσεως, ὁρατικῶν πόνους καὶ ἀπὸ ὑγρῶν κινδύνους· πρὸς δὲ τὰς πράξεις οὐ φαῦλος, ἀλλὰ εὐλυτώτερος. ἐὰν δὲ εἰς τὸ τρίγωνον ἔλθῃ, ἔμπρακτον τε καὶ εὐλυτώτερον ἕξει τὸν χρόνον. εἰς δὲ τὸ διάμετρον ἐλθὼν λίαν ἐστὶν ἀηδής· μετεωρίζει γὰρ καὶ λύπας ψυχικὰς ἐμπλεῖ καὶ ψόγον καὶ κρυβὰς καὶ ἀσθενείας καὶ οἰκείων ἀλλοτρίωσιν.

Περὶ τῆς Ἀφροδίτης.

Ὁ τῆς Ἀφροδίτης ἐλθὼν εἰς τὸν ὡροσκόπον ἀποτελεῖ ἱλαρότητα εὐφροσύνης, εἰσοδιασμούς, γνώσεις. καὶ ἐν πᾶσιν τοῖς διαπρασσομένοις ἐπικερδής, ἐὰν μήτε ἕτερος ἐν ἑτέρῳ σχήματι ἐνοχλῇ· ἐν δὲ τῷ μεσουρανήματι γενόμενος ὁ ἀστὴρ ἀποτελεῖ ἀπραγίας, μετεωρισμοὺς ψυχῆς, ἀκαταστασίας καὶ διὰ γυναῖκας ἀνωφελεῖς μέμψεις. ἐν δὲ τῷ δύνοντι ζῳδίῳ ἀποτελεῖ πραγμάτων ἀκαταστασίας, λέσχας,

1 πάθη scripsi. πάθ' V : πάθους P 2 ἀειδὴς P 3 ὄχλων sic V Lacunam signavi 5 ποιεῖ ἀηδίας ληστίας V 6 καὶ om. V 8-9 καὶ ὁρκ(ι)σ(ε)ως κινδύνους V : κινδύνους καὶ ὁρκίσεις ὁμοίως P. Leg. πολιορκήσεως? Delatte 10 ἐχουσῖς sic P περὶ om. V 12 οἰκειᾶκόν sic V : οἰκειακὴν P 14 μέν τι codd., corr. 15 περὶ γενεθλίου in marg. P : om. V γενέθλειον V : γενέσιον P 17 πρὸ ἐξόδου scripsi : πρὸς ἐξόδω V : πρὸς ἐξόδους P 18 ὁρατικῶν μέν V 19 ὑγρὸν V πρὸς δὲ τὰς V : τὰς δὲ P 19 οὐ φαῦλος omis. V 20 τε omis. P 22 μετ' ὠρίζει P ἐμπλῆ P. Leg. ἐπιτελεῖ? ψόγοις V. Fort. leg. λύπαις ψυχικαῖς... καὶ ψόγοις καὶ κρυβαῖς etc. 23 κρίβας codd., corr. coll. Valente 2, 8; 40, 31 24 Titul. περὶ τῆς Ἀφροδίτης in marg. P : ἐπέμβασις Ἀφροδίτης V 25 ὁ τῆς V : ἡ P ἡλαρότηταν P 26 εὐφροσύνην (in — νης corr. m. 1) P γνώσεις Leg. ἐνώσεις? 27 ἐπικερδὴ P Leg. μή τις? 30 πραγμάτων omis. P Post ἀκαταστασίας] καὶ διὰ γυναῖκας ἀνωφελεῖς μέμψεις repet. P

μοιχείας, γεγαμηκόσι δὲ καὶ γυναικῶν θορύβους καὶ ἐκτρώσεις. λίαν τέ ἐστιν κακὸς ὁ ἀστὴρ οὗτος ἐν τοῖς τόποις τούτοις· ἐὰν δὲ εἰς τὸ ὑπόγειον ἔλθῃ, τὰ αὐτὰ ἀποτελεῖ ὅσα καὶ ἐν τῷ δύνοντι.

Καὶ περὶ γενεθλίου. Ἐὰν δὲ ἔλθῃ εἰς τὴν γένεσιν, ποιεῖ σκυλμοὺς καὶ ταραχὰς καὶ γυναικῶν λύπας καὶ ἀκαίρους δαπάνας καὶ γυναικῶν ἀκαταστασίας ἢ σωματικὰς ἀσθενείας, ἐξ ὑπερεχόντων μέμψιν καὶ στενοχωρίας καὶ ἀπραγίας. ἐὰν δὲ ἔλθῃ εἰς τὸ τετράγωνον τῆς γενέσεως, ποιεῖ ἱλαρότητα καὶ ὠφελείας ἐν ἀρχαῖς, ὕστερον δὲ χεῖρον ἀποτελεῖ τὸν ἄνδρα. ἐὰν δὲ ἔλθῃ εἰς τὸ τῆς γενέσεως τρίγωνον ἢ εἰς τὸν καταγόμενον ἐνιαυτόν, καλός ἐστιν πανταχοῦ καὶ ὠφέλιμος καὶ γάμους διδόναι ἢ καὶ γυναικῶν συνηθείας, γεγαμηκόσι δὲ σποράς τέκνων.

Ἐπὶ δὲ τὸν Κρόνον ἐλθὼν ἀπραγίας ἀποτελεῖ, περικτήσεις, προκοπάς, κινήσεις ὠφελίμους, πλὴν μετὰ ἀκηδίας· πολλάκις γὰρ τὰς ὠφελείας μετὰ δακρύων ποιεῖ. ἐπὶ δὲ τὸν Δία γενόμενος ὁ ἀστὴρ τὸν χρόνον ἐκεῖνον βλαβερὸν ποιεῖ καὶ ἀηδῆ καὶ ταραχώδη καὶ μάλιστα πρὸς οἰκείους· ἢ διὰ γυναῖκας ποιεῖ ἐνέδρας καὶ ἐπιβουλὰς καὶ συκοφαντίας. ἐπὶ δὲ τὸν Ἄρη γενόμενος ὁ ἀστὴρ λεσχώδης, καὶ ταρακτικὸς ὁ χρόνος· ποιεῖ γὰρ ἐκδημίας ἀκαίρους καὶ δαπάνας ματαίους καὶ γυναικῶν ἐπιθέσεις. ἐπὶ δὲ τὸν ἴδιον τόπον γινόμενος κατὰ πάντα ἐστὶν εὐφρόσυνος, εὐδιάγωγος· πρὸς δὲ τὰς βιωτικὰς πράξεις ἀποτελεστικὸς καὶ ἀνυστικὸς πρὸς πάντα τὰ ἐπιχειρούμενα. ἐπὶ δὲ τοῦ Ἑρμοῦ ἀφικόμενος ἔσται ἀγαθὸς καὶ πρὸς πάντα τὰ τοῦ βίου ὠφέλιμος, πρὸς τὰς δόσεις καὶ λήψεις καὶ πράξεις καὶ κοινωνίας καὶ χειρισμούς· καὶ πρὸς πάντα ὅσα τις θέλει ἀγαθός ἐστιν. ἐπὶ δὲ τὸν Ἥλιον γενόμενος παρέξει μετεωρισμοὺς καὶ βίου καὶ ψυχῆς, πρός τε συγγενεῖς καὶ φίλους ἀκαταστασίας ἢ σωματικὰς ἀσθενείας· ποιεῖ δὲ καὶ ψόγους καὶ φόβους. καθόλου δὲ ὁ ἀστὴρ ταρακτικὸς καὶ βλαβερός, ἕως ἐκβῇ τοὺς τόπους τούτους.

1 μοιχείας P : μάχας V θόρυβος P 2 ἐν τοῖς τοιούτοις τόποις P εἰς τὸ ὑπόγειον P : τῷ ὑπογείῳ V ἐλθὸν codd., corr. 5 δὲ omis. P 6 λυπ' V : λύπην P 6 σκυλμοὺς — ἀκαταστασίας] cf. Valentem pp. 225, 24; 197, 4. καὶ P : ἢ V 11 εἰς omis. V καταγενόμενον codd., corr. Delatte, cf. p. 165, 1 καλῶς P 12 καὶ πανταχοῦ V 14 ἐπὶ V : εἰς P περικτήσεως P : περικτήσ' V : cf. Val. 225, 28 περικτήσεις, παιδοποιίας, προκοπάς 15 ἀκηδίας V : ἀδιδίας e corr. P; cf. p. 171, 7, 15 16 μετὰ P : ἀπὸ V 18 μάλλισθα P 19 ὁ ἀστήρ omis. P 23 ἀνυτικός P 25 τὰ omis. P 26 καὶ κοινωνίας signis cryptogr. P, qui postea καὶ πράξεις repetit. πάντας ὁσάτης (sic) θέλει V : πᾶσιν τοῖς θέλουσιν P 27 ἐστιν omis. V 28 τε συγγενεῖς V : ται συνκαινοῖς sic P 29 ποιεῖ· ψόγους δὲ καὶ φόβους P καὶ καθόλου δὲ P

Περὶ τοῦ Ἑρμοῦ.

Ὁ τοῦ Ἑρμοῦ ἐλθὼν ἐπὶ τὸν ὡροσκόπον ποιεῖ συστάσεις, γνώσεις, ἐπιτυχίας, οἰκονομίας καὶ παλαιῶν πραγμάτων τελείωσιν. ἐὰν δὲ εἰς τὸ μεσουράνημα ἀνέλθῃ, ὁμοίως ποιεῖ παλαιῶν πραγμάτων τελειώσεις καὶ ἀχειρισμοὺς αἰφνιδίους καὶ ὁμιλίας πρὸς ὑπερέχοντας. ἐὰν δὲ εἰς τὸ δῦνον ζῴδιον ἔλθῃ ὁ ἀστήρ, λίαν ἐστὶν κακὸς καὶ ζημιώδης· ποιεῖ γὰρ διαβολὰς καὶ μέμψεις βιωτικὰς καὶ μετεωρισμοὺς καὶ ψιθυρισμούς. καὶ κατὰ πάντα δὲ σημειοῦ τὸν χρόνον πονηρόν. ἐὰν δὲ εἰς τὸ ὑπόγειον ἔλθῃ ζῴδιον, ποιεῖ ἀπὸ κρυπτῶν ἢ λῃστρικῶν πραγμάτων λέσχας καὶ † ὠφέτας μετὰ ἀηδίας, ἔν τε ἀποδημίαις ἐξόδους ἀκαίρους.

Ἐὰν δὲ ἔλθῃ εἰς τὸν Κρόνον ποιεῖ ἀπὸ παλαιῶν πραγμάτων ὠφελείας καὶ συστάσεις, λήμματα καὶ ἀναλώματα. ἐπὶ δὲ τὸν Δία ἀφικόμενος ποιεῖ τὸν χρόνον ἱλαρώτερον καὶ εὐφροσυνώτερον· παρέχει δὲ καὶ συστάσεις. ἐπὶ δὲ τὸν Ἄρεα ἐλθὼν λίαν ἐστὶν κακός· ἀσθενείας γὰρ ποιεῖ ψυχικὰς καὶ βιωτικάς, πλὴν διακοπὰς πραγμάτων μετὰ συντομίας ἀποτελεῖ καὶ δόξας μετὰ ὀχλήσεως καὶ ζημίας καὶ βλάβης. ἐπὶ δὲ τὴν Ἀφροδίτην ἐλθὼν λίαν ἐστὶν ἱλαρὸς καὶ ὠφέλιμος καὶ πρὸς γυναῖκας ἐπιτευκτικὸς καὶ ἔμπρακτος. ἐπὶ δὲ τὸν ἴδιον τόπον ἐλθὼν πονηρὸν τὸν χρόνον ποιεῖ· ἔχθρας γὰρ καὶ ἀπαλλοτριώσεις ἰδίων ποιεῖ καὶ οἰκιακῶν καὶ φίλων ἐνέδρας καὶ κλοπὰς καὶ ἐπιθέσεις. ἐπὶ δὲ τὸν Ἥλιον ἐλθὼν ποιεῖ ἀηδίας καὶ μερίμνας καὶ φόβους καὶ ἀσθενείας καὶ ἀποδημίας ματαίας.

Καὶ περὶ γενεθλίου. Εἰς δὲ τὴν γένεσιν ἐλθὼν λυπηρός ἐστιν κατὰ πάντα ψυχικῶς τε καὶ βιωτικῶς· ποιεῖ γὰρ [ἀθετησίας καὶ μέμψεις καὶ ἀχαριστίας καὶ ἀποστερήσεις. ἐὰν δὲ εἰς τὸ τετράγωνον τῆς γενέσεως ἔλθῃ, λίαν ἐστὶν λυπηρὸς καὶ παρὰ θηλυκῶν προσώπων· ποιεῖ δὲ καὶ ἐξοδιασμοὺς ματαίους. ἐὰν δὲ ἔλθῃ εἰς τὸ τρίγωνον τῆς γενέσεως, λίαν ἐστὶν ὠφέλιμος καὶ μάλιστα περὶ ἀρχαίων πραγμάτων ἐνγχειρεῖν οὐ κακός. εἰς δὲ τὸ διάμετρον τῆς

Titulus ἐπέμβασις ἑρμοῦ V 2 ὁ ἑρμῆς P ἐπὶ V : εἰς P 4 ἔλθῃ P 4-5 παλαιῶν — τελειώσεις om. P 5 ἀχειρισμούς non capio. Leg. χειρισμούς? 6 ὑπερεχόντων V 7 μέμψας P 8 καὶ κατὰ — πονηρόν] τόν δὲ χρόνον σημειοῦ πονηρόν P 9 ζῴδιον om. P 10 πραγμάτων ἢ λῃστρικῶν transp. P ὠφέτας corruptum. Leg. ὠφελειας? ἀηδίας V : ἰδίας P 11 ἀποδημίας καὶ P; cf. Val. 99, 10; 100, 7 13 λήμμα τε codd.; corr., cf. Val. 1, 10 14 εὐφρόσυνον V 17 συντομίας V : συντελείας P 18 βλάβας V 19 γυναῖκας signis cryptogr. P 20 χρόνον ποιεῖ· ἔχθρας P : ἐχθρὸν· ἔχθρας V 21 ἀπηλωτριῶσεις *sic* P : ἰδίως V φίλον ἐνέδρας οἰκειακῶν V, cf. e. g Val. 193, 12 καὶ suppl. 24 περὶ γενεθλίου in marg. V 25 ψυχηκὸς V τε om. P βιωτικός V 25 Leg. ἀθετήσεις? cf. Val. indicem 27 λυπηρὸς καὶ V : πονηρὸς P 27-28 θηλυκὸν προσώπον V 29 μάλλισθα P 30 κακῶς V εἰ δὲ εἰς τὸ P

γενέσεως ἐλθὼν ἄθετον καὶ ἐπισφαλῆ ποιεῖ τὸν χρόνον καὶ ψεύστην καὶ ἐπιθέτην πρὸς πάντας ἀνθρώπους.

Περὶ <τῆς> Σελήνης.

Ἐὰν ἡ Σελήνη ἔλθῃ ἐπὶ τὸν ὡροσκόπον τὴν πρώτην ἡμέραν τὴν ψυχὴν μετεωρίζει· ποιεῖ γὰρ ἀηδίας καὶ φόβους ματαίους. ἐὰν δὲ εἰς τὸ μεσουράνημα ἔλθῃ, ἔσται ἔμπρακτος καὶ εἰς πάντα ἀνυστικός. ἐὰν δὲ εἰς τὸ δῦνον ἔλθῃ, ποιεῖ φόβους, ἀκηδίας· εὐλαβοῦ δὲ καὶ ἀπὸ θηλυκοῦ προσώπου καὶ πάσης πράξεως. εἰς δὲ τὸ ὑπόγειον ἐλθών, ἀηδὴς καὶ ταραχώδης. ἐπὶ δὲ τὸν Κρόνον ἐλθὼν νωχελὴς γίνεται καὶ ἀκηδιώδης, περὶ δὲ πραγμάτων ἀρχαίων ποιεῖ τινας ὑπομνήσεις. πρὸς δὲ πρεσβύτερον παρατήρει λέγειν, καὶ πάντας ἀγορασμούς* συμφέρει δὲ καὶ οἰκίας κτᾶσθαι· ὀνείρων δὲ ταρακταὶ φοβερόν. ἐπὶ δὲ τὸν Δία ἀφικομένη ἔστιν ἔμπρακτος πρὸς πᾶσαν πρᾶξιν, σκυλμώδης δέ. ἐπὶ δὲ τὸν Ἄρεα ἐλθών, σημειοῦ τὰς ἡμέρας· αἰφνίδια γὰρ συμπτώματα ποιεῖ, ἀκηδίας ἢ πτώσεις ἢ αἱμαγμοὺς ἢ κινήσεις, πλὴν κοπτικὴ καὶ δραστική. ἐπὶ δὲ τὴν Ἀφροδίτην ἐλθὼν ἱλαρότητα σημαίνει καὶ πράξεις καὶ ἐπιμιξίας ποιεῖ, πλὴν διὰ θηλυκῶν προσώπων ἀηδίας ἢ παραδειγματισμούς. ἐπὶ δὲ τὸν Ἑρμῆν ἐλθοῦσα τὰς μὲν πράξεις †εὐθηλυτέρας ποιεῖ καὶ μᾶλλον ὅσα διὰ γραμμάτων ἢ κοινωνῶν τελεῖται, πλὴν διὰ οἰκιακῶν προσώπων ἢ δούλων συστάσεις ἢ ἀηδίας· σημειοῦ δὲ τὰς ἡμέρας ἐκείνας.

Περὶ γενεθλίου. Εἰς δὲ τὸ γενέθλιον δεινῶς μετεωρίζει καὶ ἀηδίας ἐμποιεῖ καὶ φόβους ματαίους.

3 Tit ἐπέμβασις τῆς σελήνης V 4 ἡ σελήνη ἐλθοῦσα εἰς P 6 ἔλθῃ εἰς τὸ μεσουράνημα P ἔσται om. P 6 ss. Adiectiva masculina, quia ὁ ἀστήρ subauditur 7 ἀκηδίαν P 8 δὲ om. P 9 υποτὴν *sic* V 10-11 ποιεῖ τινας corr. : ποιεῖτικάς sic V : ποιητικὰς P 11 παρατήρου λέγε P 12 Post ἀγορασμούς verbum, velut ποιεῖ deesse videtur 13 φοβερὸν ταρακταὶ V : ταρακταὶ φοβεραί P, corr. Intell. " somniorum quae (mentem) turbant formidabilia. „ An ταραχαὶ φοβεραί? Delatte 14 Anacoluthum ἐπὶ τὸν Ἄρεα ἐλθών σημειοῦ corrigere nolui 15 ἢ πτώσεις V : ἡττώσεις P; cf. Val. 58, 26; 160, 12 16 Leg. προκοπτική? cf. Val. indicem 17 πράξεις καὶ om. P 18 δὲ om. V 19 εὐθηλυτέρας P : θ(η)λυτέρας V Leg. εὐθυτέρας? vel εὐλυτωτέρας? cf. supra, p. 168, 20, Delatte 20 οἰκείων P 21 ἀηδίας ἢ δούλους ἢ συστάσεις V : ἢ δούλων ἢ συστάσεις ἀηδιάς P; corr. δὲ omis. V περὶ γενεθλίου om. V 23 εἰς δὲ το γε τὸ γενέθλιον *sic* P ἐὰν δε εἰς V δύνος P : δυνὸν V; corr. 24 καὶ φόβους ματαίους om. V πρὸς ὃ (sic) ἂν τύχει σχήματι μὲ τοὺς ἀστέρας add. P. Lingua vulgaris additamentum compilatoris indicat.

Hermetis Trismegisti methodus mystica.

Duas recensiones huius opusculi repperimus, quarum altera in codice Parisino nostro 4 (= 2419), f. 69^{v}, cap. ις′ et in codice Veneto 6 [i. e. Marciano 334], f. 49, cap. qς′ servatur, altera in codice Florentino 8 (= Laur. XXXVIII, 14), f. 241. In parte priore, quam duobus columnis disposuimus, altera recensio ab altera multum differt. In parte reliqua similiores sunt, ita ut discrepantiae in apparatu critico adnotare satis fuerit.

Ad tempus huius opusculi definiendum terminum *ante quem* praebere videtur p. 176, v. 16, ἀνασταυρούμενον. Nam crucis supplicium Constantinum Magnum sustulisse notum est (Mommsen, *Strafrecht*, p 921). Multo antiquiora haec esse crediderim, quia nullum verbum e vulgari recentiorum Graecorum sermone petitum continent, nam vox inaudita, p. 176, 24, φαλσογράφον, aperte librarii error est pro πλαστογράφον, et ἀλογόμορφον, p. 173, 21, ab altera recensione abest.

Utrum haec " methodus mystica „ ex " Libro mysteriorum „ qui in Catalogo Apomasaris Hermae tribuitur (*Cat.* I, p. 84, 14; cf. *Realenc.*, s. v. *Hermes Trism.*, c. 799), an ex alio opere excerpta sit, incertum manet.

Parisinus et Venetus.

Ἑρμοῦ τοῦ Τρισμεγίστου μέθοδος μυστικὴ εἰς πᾶσαν καταρχὴν ἐπιτήδειος.

Πρὸ πάντων δεῖ τὸν σκεπτόμενον καὶ ζητητικῶς ἔχοντα περὶ τὰς καταρχὰς <ποιεῖσθαι τὰς> μεταθέσεις τῶν κέντρων καὶ τῶν ἐποχῶν τῶν ἀστέρων, εἴπερ βούλοιτο ἐπιτευκτικὸς εἶναι καὶ μὴ σφάλλεσθαι ἐν οἱαδήποτε καταρχῇ, ἤγουν ὅταν ἐρωτηθῇς περὶ καταβολῆς σπέρματος ἀνθρώπου ἐστὶν ἢ κτήνους, ἄρρεν ἢ θῆλυ, δίδυμα ἢ τετράποδα ἢ πτερωτά, σώζεται ἢ ἀποτίκτεται, καὶ τικτόμενον τρέφεται ἢ ἄτροφον ἔσται καὶ περὶ ἄλλων τινῶν καταρχῶν διαφόρων· ἔστι δὲ ἡ μέθοδος αὕτη.

Λάμβανε πάντοτε τὰς ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὴν Σελήνην μοίρας καὶ ταύτας ἔκφερε παρὰ τῶν ϛ′ καὶ ὅσας ἂν εὕρῃς ἑξάδας ἀπόβαλε· τὰς δὲ μὴ ἀπαρτίζουσας τῶν μοιρῶν ἀπόλυε ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ἡ Σελήνη κατὰ ζῴδιον παρέχων μοῖραν μίαν, καὶ εἰς ὃ ζῴδιον καταλήξει ὁ ἀριθμός, παρατηροῦ τὸ ζῴδιον ἐκεῖνο, καὶ εἴ ἐστιν ἀνθρωπόμορφον καὶ ἀγαθοποιοὶ μαρτυροῦσιν, ἐρεῖς ἀνθρώπου εἶναι τὴν καταβολήν. ἐὰν δὲ καὶ εἰς τετράπουν, καὶ κακοποιοὶ ἐποπτεύσωσιν, ἐρεῖς εἶναι τὴν καταβολὴν τετράποδος· ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρῶσιν τῷ ζῳδίῳ τούτῳ τῶν κακοποιῶν ἐκτός, ἐστὶν ἀνθρώπου δυστυχοῦς· ἐὰν δὲ εἰς ἀνθρωποειδές, κακοποιῶν παρόντων ἢ ἐπιμαρτυρούντων, ἔσται μὲν τετράπουν ἥμερον· ἐὰν δὲ ἐν τετράποσιν ἀγαθοποιοὶ ὁμοῦ καὶ κακοποιοὶ μαρτυρῶσι, ὡσαύτως χειροήθη ζῷά εἰσιν.

3 ἐπιτήδειος om. P(arisinus) 4 δεῖ τὸν σκεπτόμενον V(enetus) : δὲ σκεπτόμενος P Leg. διαθέσεις? 8-9 ὑπερβούλοι τῷ P 10 σφάλεσθαι P : συσφάλλεσθαι V ἐνὸς αδήποται P 11 ἐρωτηθεὶς P 12 σπορὰς P ἀνανθρώπου P

Florentinus.

Ἑρμοῦ τοῦ Τρισμεγίστου μέθοδος εἰς πᾶσαν καταρχήν.

Πρὸ πάντων δεῖ τὸν σκεπτόμενον καὶ ζητητικῶς ἔχοντα περὶ τὰς καταρχάς, εἴπερ βούλοιτο ἐπιτευκτικὸς εἶναι καὶ μὴ σφάλλεσθαι ἐν οἱαδήποτε καταρχῇ, ποιεῖσθαι τὴν διάθεσιν τῶν κέντρων καὶ τῶν ἀστέρων ἠκριβωμένην, καὶ εἰ ἐρωτηθείῃ περὶ καταβολῆς σπέρματος, πότερον ἀνθρωποειδὲς ἔσται τὸ γεννηθησόμενον ἢ κτηνοειδὲς καὶ ἄρρεν ἢ θῆλυ, εἰ δίδυμα ἢ πτερωτὰ ἢ τετράποδα, καὶ εἰ σώζεται ἢ ἀπόλλυται καὶ εἰ τεχθησόμενον τραφήσεται ἢ ἄτροφον ἔσται ἢ καὶ περὶ ἄλλων τινῶν καταρχῶν διαφόρων, ταύτῃ χρηστέον τῇ μεθόδῳ ἐχούσῃ οὕτως·

Λάμβανε πάντοτε τὰς ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὴν Σελήνην μοίρας καὶ ταύτας μέριζε παρὰ τῶν ϛ′ καὶ ἀπόλυε ὅσας ἂν εὕρῃς ἑξάδας. τὰς δὲ κάτωθεν τῶν <μοιρῶν> ἀπόλυε ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ἡ Σελήνη κατὰ ζῴδιον παρέχων μοῖραν μίαν, καὶ εἰς ὃ ζῴδιον καταλήξει ὁ ἀριθμός, σκοποῦ τὸ ζῴδιον· καὶ ἐὰν ᾖ ἀνθρωπόμορφον καὶ ἀγαθοποιοὶ μαρτυρῶσιν αὐτῷ, λέγε ἀνθρωποειδὲς τελείως ἔσεσθαι τὸ τεχθησόμενον· ἐὰν δὲ ᾖ τὸ ζῴδιον ἀλογόμορφον, μαρτυρῆται δὲ καὶ ὑπὸ κακοποιῶν, θηριόμορφον ἔσεσθαι τοῦτο σήμαινε· ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται, δυστυχῆ τὸν ἄνθρωπον σήμαινε.

12 πότερον ἂν cod.

1 ἢ ἄρρεν P 4 ἄτροφον ἔσται V : οὐ τρέφεται P 8 λαμβάνεις codd. 8-9 τοῦ εἰ τὴν om. P 10 ταῦτα codd. 11 εὑρήσεις V 12-13 τὰς μοί(ρας) ἀπολύεις V 15 μίαν μοίραν V 16 καταλήγει V 17 ἐκείνω P : om. V 19-20 ὅτι ἀνθρώπου ἐστὶν ἡ καταβολή P 22 ἐποπτεύουσιν V 24 ἐαγαθοποιοὶ *sic* P 24-25 μαρτυρῶ τὸ ζῴδιον τοῦτον 26 δυστυχοῦς V : εὐσυνεχές P 28 μαρτυρούντων V 36 μαρτυροῦντες codd., corr. 37 χειροῄθει sic P

9 τὸν cod. 12 μοιρῶν suppl. 16 σκόπου cod.

ἐὰν δὲ εἰς τετράπουν ἐμπέσῃ, ἀγαθοποιῶν ἐπόντων ἢ καὶ ἐπικέντρων ὄντων, ἄνθρωπος ἔσται ἀλλοτριούμενος τῆς αὐτοῦ συγγενείας· ὅμως οὖν δοξασθήσεται. ἐὰν δὲ καὶ τὰ κέντρα συγκεντρογραφηθῇ, καὶ εἰς βασιλείαν ἀχθήσεται.

Εἰ δὲ βούλει γνῶναι πότερον πολυχρόνιον ἔσται τὸ τικτόμενον ἢ ὀλιγοχρόνιον, γνώσῃ τῇ ἀγωγῇ ταύτῃ· ἐὰν εὕρῃς τὸ ζῴδιον, εἰς ὃ κατέληξεν ὁ ἀριθμὸς ὃν προεῖπον, ἐν ἀποκλίματι τοῦ ὡροσκόπου καὶ ἐν ὁρίοις κακοποιοῦ, ἀποφαίνου τὸ τικτόμενον ὀλιγοχρόνιον· ζήσει οὖν τοὺς ἀναφορικοὺς χρόνους τοῦ ζῳδίου ἐκείνου ἐπὶ τοῦ κλίματος οὗ διάγεις· καὶ ἐὰν κακοποιοὶ μαρτυρῶσιν τῷ τοιούτῳ ζωδίῳ, ἕκαστος αὐτῶν τὸ γ′ ἥμισυ τῶν ἀναφορικῶν χρόνων τοῦ ζῳδίου ἀφαιρεῖ· ἐὰν δὲ ἀγαθοποιοί, πάλιν ἕκαστος τούτων τὸ γ′ ἥμισυ προστίθησι τῶν ἀναφορικῶν χρόνων· ἐὰν δὲ εἰς ἀγαθοποιοῦ ζῴδιον ἦγουν ὅριον ἐμπέσῃ, ἔσται πολυχρόνιον.

Γνωσῃ δὲ καὶ τούτων τὰ ἔτη τῇ αὐτῇ ἀγωγῇ χρησάμενος· εἰς ὃ γὰρ ἔληξεν ὁ ἀριθμὸς ζῴδιον, λάμβανε τοὺς ἑκάστου ἀναφορικοὺς χρόνους, ἐν ᾧ κλίματι γίνεται ἡ ἐρώτησις, καὶ ἔτι τῶν ἐχομένων ἐφεξῆς β′ ζῳδίων τοὺς ἀναφορικοὺς ὁμοίως χρόνους, καὶ λέγε τοσούτους χρόνους ζήσεσθαι καὶ μῆνας καὶ ἡμέρας, παρατηρούμενος τὴν τῶν κακοποιῶν μαρτυρίαν ἐκ τετραγώνου καὶ διαμέτρου, καὶ οὕτως ἄφελε τὸ τρίτον ἥμισυ πρὸς τὴν θεωρίαν ἑκάστου, καὶ εἰ μὲν ἀγαθοποιοὶ ἐπιβλέπουσι, προστιθέσθω ἕκαστος ἔτη θ′· ἐὰν δὲ ὁ τόπος ἐν ἀποκλίματι ἐμπέσῃ καὶ κακοποιοὶ ἐπιθεωρῶσιν τὰ δύο τετράγωνα τῆς Σελήνης, τὰ τοιαῦτα ἐμβολιμαῖα γίνεται.

Ἀγαθοποιοῦ δὲ ἐπαναφερομένου, τρέφεται τὸ γεννηθὲν καὶ εἰς

1 δὲ om. P V ἐμπέσει P ἀγαθοποιὸς V ἢ om. P V 2 ὄντων om. P V ἐστιν P συνκαινείας P 3-4 ἐὰν δε — ἀχθήσεται om. F 3 δὲ om. P συνκετρογραφηθή codd., non capio 4 καὶ om. P 5 ἐάν P V πότερον om. P V ἐστιν P V 6 γνώσει P εὕρεις P 7 κατέλειξεν P : ἔληξεν F V ἐν ἀποκλίματι P V : λῆγον εἰς ἀπόκλιμα F 8 καὶ om. P V τὸν V 9 ζήτει V τοὺς — χρόνους F : τὴν ἀναφορὰν P : τὴν ἀναφορὰν αὐτοῦ V 9-10 ἐκείνου — διάγεις om. P V 10 καὶ ἐὰν F V : οἱ P 10-11 τῷ τοιούτῳ ζωδίῳ om. P V 11 et 13 ἥμισυ om. F V, fors. recte. 11 τῶν ἀναφορικῶν χρόνων F : τῆς ἀναφορᾶς P V 11-12 τοῦ ζῳδίου om. F 12 ἐὰν δὲ ἀγαθοποιὸς μαρτυρῇ V : ἐαγαθος (sic) ἐπιμαρτυρίσει P 13-14 πάλιν — χρόνων F : προσθὴ τὸ γ′ ἥμισυ (ἥμισυ om. V) τῆς ἀναφορᾶς P V 14 ζῴδιον ἦγουν om. P F ὅρια F 15 γνώσει P τοιαύτῃ P χρησόμενος V 16-19 ἔληξεν — μῆνας καὶ F : ἐμπέπτωκεν ἡ ἔφοδος ζωδ(ίου) λαμβάνεις τὴν ἀναφορὰν καθὸ (sic) ἠρωτήθης κλίμα· καὶ ἀπ' αὐτοῦ τοῦ ζωδίου λάμβανε καὶ τῶν ἐχομένων ζῳδίων τρίων τὰς ἀναφορὰς καὶ λέγε τοσούτους ζήσεται χρόνους ἢ μῆνας ἢ P V 21 ἥμισυ om. F V 22 καὶ εἰ μὲν P V : εἰ δὲ F ἀγαθοποιὸς P V ἐπιβλέποντες F : ἐπιβλέπων P V.; corr. προστίθει ἑκάστω F 23 ἐὰν δὲ ἐν ἀποκλίματι ἄλλω τινί, ὁ ἀριθμὸς ἐμπέσῃ F ἀποκλήσει V ἐμπέσει P κακοποιεῖ P 24 τοὺς δύο τετραγώνους P γίνονται P 25 ἀγαθοποιὸς δὲ ἐπαναφερόμενος P V τὸ γεννηθὲν om. P V

δουλείαν ἐκτίθεται· εἰ δὲ δύο ἀγαθοποιοί, εἰς συμβολὴν καὶ τεκνοποιίαν· ἐὰν δε κακοποιὸς ἐπαναφέρηται, νεκρὸν ἀποκυηθήσεται τὸ ἔμβρυον· ἐὰν δὲ δύο ὦσιν οἱ κακοποιοὶ, ἐμβρυοτομηθήσεται ἢ ἐκτρωθήσεται. δίδυμα καὶ τρίδυμα γίνονται, ἐπὰν ἐν διδύμοις ζῳδίοις ἡ ἔφοδος ἐμπίπτῃ, ἢ ἐν πολυσπέρμοις· ἐὰν δὲ καὶ πολύγονον ἢ τὸ ζῴδιον, καὶ πλείω τῶν τριῶν πολλάκις γίνονται. καὶ ἐὰν κακοποιοὶ καὶ ἐπὶ τῶν τοιούτων ἐπαναφέρωνται, νεκρὰ γεννῶνται, ἐὰν δὲ ἀγαθοποιοί, ζῶντα. καὶ ἐὰν πάλιν οἱ τῆς <ἡμερινῆς> αἱρέσεως ἀστέρες μαρτυρῶσιν τῇ δειχθείσῃ ἐφόδῳ, ἄρρεν ἐστὶν τὸ ἐγγάστριον ἢ ἄρρενα· ἐὰν δὲ οἱ τῆς ἐναντίας, θῆλυ <ἢ> θήλεα. ἐὰν δὲ ὁ μὲν ἠρρενώμενος, ὁ δὲ τεθηλυσμένος, ἄρρεν καὶ θῆλυ· ἐὰν δὲ μεσολάβηται ὁ τόπος ὑπὸ κακοποιῶν, οὐκ ἔχει ἐγγάστριον.

Ἐπὶ δὲ ἄλλων καταρχῶν ἐὰν ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται ἡ ἔφοδος, ἀγαθὴν λέγε τὴν καταρχὴν καὶ πᾶσαν ἐπιβολὴν τοιαύτην· ἐὰν δ' ὑπὸ κακοποιῶν, καὶ τὴν καταρχὴν καὶ τὰς ἐπιβολὰς φαύλας λέγε· σημαίνει γὰρ εἴτε κατάκλισιν εἴτε κατάκρισιν εἴτε ὅμοια τούτοις. ἔτι δὲ γινώσκεται καὶ ἡ ἀγωγὴ ἑνὸς ἑκάστου τῶν ἐρωτώντων, εἴτε φαύλη εἴτε χρησίμη, διὰ τῆσδε τῆς ἐφόδου· ἐπὰν εὕρῃς τὸ ζῴδιον τοῦτο ἀποκεκλικὸς, μαρτυρούμενον δὲ ὑπὸ ἀγαθοποιῶν, κακοποιῶν μὴ συμπαρόντων, λέγε τὸν ἐρωτῶντα ζητητικὸν εἶναι καὶ πολυπράγμονα· κἂν μὲν ὑπὸ Διὸς μαρτυρῆται, λόγων καὶ γραμμάτων καὶ ποιημάτων καὶ φιλοσοφῶν συνετὸν ἐξεταστήν· ἐὰν δὲ τύχῃ ὁ Ζεὺς καὶ ἐν Ἄρεως οἴκῳ

1 συμβουλὴν codd., corr., cf. Vett.Val. 172,26; 198,26 2 καὶ ante νεκρὸν add. P V ἀποκυηθ. τ. ἔμβρυον] ἐξελεύσεται P V 3 ἐμβρυοτμηθήσεται P 3-4 ἢ ἐκτρωθήσεται om. P V; cf. Proclum in Ptol., p. 124, 23 : ἐκτιτρώσκειν ἢ ἐμβρυοτομεῖσθαι 4 δίδυμοι καὶ τρίδυμοι P V, sed. cf. v. 7-8 νεκρά, ζῶντα ἐπὰν δὲ P δίδυμοις F : διδύμοι P : δισώμοις V. Signa gemella sunt Gemini et Pisces, ut videtur. 5 ἐμπέσει P : ἐμπέσῃ V 6 πλείων F πολλάκις γίνονται F : εὑρίσκεται P V κἂν P V 6-7 καὶ ἐ. τ. τοιούτων om. P V 7 ἐπαναφέρονται P γεννῶνται om. P V 8 ἐὰν δὲ P V ἡμερινῆς suppl. αἱρέσεως P V : ἀρρενώσεως F 9 ἐστιν P V : ἔσται F ἢ ἄρρενα om. P V. De geminis dicitur. 10 οἱ τῆς ἐναντίας θήλεα F : τῇ ἐναντίᾳ θῆλυ P V 10-11 ἐὰν δὲ ὁ μὲν — θῆλυ omis. P V; cf. Bouché-Leclercq, *Astr. gr.*, p. 102 11 τεθηλυμένὸς cod., corr. ὁ τόπος om. P V 12 ὑπὸ τῶν P 13 ἀγαθῶν P V μαρτυρεῖται P 14 καὶ F V : κατὰ P 15 δ' ὕπο F : δὲ P V καὶ om. P V ἐπιβουλὰς P φαύλας λέγε F : τοὐναντίον V : ἐναντίον P 16 ἤται κατακλύσεις ἤται κατακρίσεις P εἴτε (ante κατακρ.)] ἢ V εἴτε F : ἢ P V 17 δὲ F : οὖν P V γινωσσκαὶ sic P ἑνὸς om. F. 18 ἤται φαυλ' ἤται χρήσιμος διτής δὲ sic P 18 εὕρεις P ἀποκελικότα τούτου τὸ ζώδιον V : ἀποκεκληκότα τούτῳ τῷ ζωδ' P 18-19 ὑπὸ ἀγαθῶν (ἀγαθὸν P) μαρτυρούμενον P V 19 λέγε F : σήμαινε V. : σημείωσαι P 20 τὸν ἐρωτῶντα F : τόν τοιοῦτον P V καὶ πολυπράγμονα εἶναι transp. P V 21 μὲν om. P V ἀπὸ V μαρτυρεῖται P 22 συνετὸν corr.; καὶ συνετῶν F V : om. P 22 ἢ ἐν Ἄρεως τόπῳ ὁ τοῦ Διὸς ἀστὴρ P V

ἢ ὁρίοις, σημαίνει τὸν αὐτὸν εἶναι καὶ ἀκατάγνωστον· ἐὰν δὲ ἐν οἴκῳ ἢ ὁρίοις Κρόνου, καὶ ἱστοριογράφον· ἐὰν δὲ ἐν ἰδίοις ὁρίοις καὶ πρὸς τοὺς ἰδίους καὶ συγγενεῖς αὐτοῦ ὠφέλιμον εἶναι σημαίνει· ἐὰν δὲ ἡ Ἀφροδίτη μαρτυροῦσα τὸν τόπον ἐπιθεωρῇ καὶ τὸν Ἑρμῆν, σημαίνει μουσικὸν εἶναι· ἐὰν δὲ ἐν τοῖς τοῦ Ἄρεως ὁρίοις ὑπάρχῃ, δηλοῖ σκηνικόν ἢ τραγῳδόν· ἐὰν δὲ ἐν τοῖς ἰδίοις ὁρίοις ἢ ἐν τοῖς τοῦ Ἑρμοῦ, ἐπιτευκτικὸν ἢ κοσμοποιὸν ἢ ἐπιεικῆ· ἐαν δὲ ἐν τοῖς τοῦ Κρόνου, σημαίνει πάντων μὲν ἐφαπτόμενον, ὑπὸ μηδενὸς δ' ὠφελούμενον· ἐὰν δὲ ὕπαυγος οὖσα ἡ Ἀφροδίτη ἐπιθεωρῇ τὸν Ἑρμῆν, σημαίνει φάρμακον ἢ φαρμακείαν τινὰ γεγενῆσθαι· ἐὰν δὲ ὁ τοῦ Κρόνου μαρτυρήσῃ Ἑρμῇ, εὐδόκιμόν τινα δηλοῖ καὶ ἐπιτευκτικόν· εἰ δὲ καὶ κακούμενος ὁ Κρόνος μαρτυρήσῃ, κακὸν τὸ τέλος ἕξει ἐν οἷς εὐδοκιμεῖ· ἐὰν δὲ ὁ Κρόνος ἐπιβλέπων τὸν τόπον ἐν τόπῳ Διὸς ὑπάρχῃ, ἰατρὸν σημαίνει· κακοποιοὶ τετραγωνίζοντες τὸν Ἑρμῆν ἀποκεκλικότα ληστὴν σημαίνουσι καὶ ἀνδροφόνον· εἰ δὲ καὶ ἐνηλλαχότες εἶεν τὰ ὅρια ἀλλήλων οἱ κακοποιοί, καὶ ἀνασταυρούμενον δηλοῦσι τὸν τοιοῦτον· ἐὰν δὲ ὁ μὲν ἕτερος τῶν κακοποιῶν ἐν κακοποιοῦ ὁρίοις ᾖ, ὁ δὲ ἕτερος ἐν ἀγαθοποιοῦ ὁρίοις, εὐσχήμονα ἀναίρεσιν τούτου σημαίνει· ἐὰν δὲ εἷς μόνος κακοποιὸς ἐπιθεωρῇ καθ' ὃν προειρήκαμεν τρόπον, φονέα μὲν οὐ δηλοῖ εἶναι, ληστὴν δὲ δείκνυσιν. ἐὰν δὲ ἐκ τριγώνου γένηται ἡ μαρτυρία αὕτη, στρατιώτην δηλοῖ· ἐὰν δὲ μὴ κακοποιὸς ἐπιθεωρῇ τὸν Ἑρμῆν, εὐπόρευτον καὶ εὐμετάδοτον σημαίνει· κακοποιῶν δὲ ἐπιθεωρούντων σημαίνει πλαστογράφον, ῥᾳδιουργόν. Ἑρμῆς ἀγαθοποιοῦ ἐπέχων ὅρια καὶ ὢν ἐπίκεντρος ἡγεμόνα καὶ ἄρχοντα σημαίνει.

1 τὸν τοιτοιοῦτον sic P καὶ om. P V ἀκαταγνωστόν vix sanum; ἀναγνώστην coni. Delatte ἐν om. V 2 οἴκῳ ἢ om. P V Κρόνου ὁρίοις P V καὶ om. P V ἱστοριογράφων P ἐν om. P V 3 τῶν ἰδίων αὐτοῦ καὶ τῶν (τῶν om. V) συγγενῶν (συγκαινῶν P) ὠφέλιμον P V σημαίνει om. F 4 δὲ om. F μαρτυροῦσα τὸν τόπον om. P V ἐπιθεωρεῖ V καὶ ante τὸν om. P V 5 εἶναι F : τινά V : τινὰν P τοῦ om. F V 6 ὑπάρχει P τοῖς om. F 6-7 ἢ ἐν τοῖς om. P V 7 κοσμοποιὸν (— ὢν P) ἢ ἐπιεικῆ (ἐπιηκεῖ P) ἢ ἐπιτευκτικόν τινα (τίναν P) P V ἐν om. P V 8 μὲν om. P V ἐφάπτεσθαι καὶ μηδὲν ὠφελούμενον P V 9 ὕπαυγος οὖσα F : ὑπὸ Ἡλίου ἐστὶν P V ἐπιθεωροῦσα P V 10 τινὰν P 10-11 τοῦ Κρόνου F V : Κρόνος P 11 μαρτυρήσει τὸν Ἑρμῆν P τινὰν P 12 μαρτυρήσει P τὸ om. P 13 ἐπιβλέπον P τὸν τόπον om. P V 14 ὑπάρχει codd. ἰατρὸν om. P κακοποιὸν τετράγωνον δὲ (δέ om. V) τοῦ Ἑρμοῦ ἀποκεκλικότος P V 15 σημαίνει P V 15-16 ἐνιλαχότες P 16 ἀλλήλοις P : ἀλλήλους V δὲ καὶ ἀνασταυρούμενοι P 17 τὸν τοιοῦτον om. P V ὁ μὲν ἕτερος F : ὁ ἕτερος V : καὶ οὕτως P 18 κακοποιοῦ F : κακῶν P V ἕτερος F P : ἄλλος V ἀγαθῶν P V εὐσχήμοναν P 19 τούτου om. P V μόνον P ἐπιθεωρεῖ P 20 προειρήκειμεν F οὐ δηλοῖ εἶναι F : οὐκ ἐπιτελέσει P V 21 γενήσεται P αὐτοῦ P 22 δὲ om. P μήτε V τοῦ Ἑρμοῦ P V 23 εὐπόρευτον Leg. εὐπόριστον? cf. Vett. Val., p. 64, 20, εὐτυχὴς καὶ εὐπόριστος καὶ πολύτεκνος εὐμετάβολον P 24 πλαστογράφον corr., cf. Vett. Val., p. 16, 11; 202, 6 : φαλσογράφον F V : φλαυσογράφον P 25 ἐπίκληρος P V

Ἑρμῆς μετὰ Σελήνης βασιλικὸν ἄνδρα σημαίνει. εἰ Σελήνη τετραγωνίζουσα τὸν Ἑρμῆν ὑπὸ ἀγαθοποιοῦ μαρτυρεῖται, εἰ καὶ ἐν κακοποιοῦ ὁρίοις ἐστίν, ὅμως μέγαν ἄνδρα δηλοῖ. Ἑρμῆς εἰς ἐπαναφορὰν τοῦ τόπου τῆς ἐφόδου ὑπάρχων χειροτέχνην, βάναυσον σημαίνει· ἐὰν δὲ ἐν ὁρίοις Ἄρεως, σημαίνει ἀπὸ πυρὸς ἢ σιδήρου ἐργαζόμενον· ἐὰν δὲ ἐν ὁρίοις Κρόνου, ἀπὸ κλοπῆς ἢ παρύγρων φροντιστήν, ἀγαθοποιῶν δὲ τετραγωνιζόντων, τὸν πάντων αὐθεντοῦντα ἐν τῇ τέχνῃ καὶ μηδὲν κτώμενον.

1 βασιλεικὸν γὰρ σημαίνει ἄνδραν P : καλὸν τὸν ἄνδρα δηλοῖ F εἰ Σελήνη] καὶ P 1-2 τετράγωνος (signo astr.) τοῦ Ἑρμοῦ V : τετράγωνον τὸν Ἑρμῆν P 2 ἀγαθοποιῶν F μαρτυρῆται P V καὶ εἰ F 3 κακοποιῶν P V ἐστὶν F : οὖσα P V ὅμως om. P V μέγαν F V : μελάνον P 4 τοῦ τόπου om. P V σημαίνει χειροτεχνώριον βάναυσον P V. Fort. leg. ἐριοβάναυσον 5 Post σημαίνει add. τοῦτον P : τὸν V ἀπὸ σιδήρου ἢ (καὶ V) πυρός P V; cf. e. g. Hermetem Trism. *Cat.* VIII, 4, p. 136, 8; τεχνίτας ἀπὸ πυρὸς ἢ σιδήρου 6 ἐν om. P V Κρόνου ὁρίοις P V παρύγρων τόπων φροντιστής P V, sed cf. Hermetem *ibid.*, p. 142, 20; 168, 17 δὲ om. P V τετραγώνων P V 7 πάντων corr. : τούτων codd. ἐν τῇ τέχνῃ om. F χρώμενον P

Apomasaris de lunae effectibus [1].

F. 138. νδ'. Περὶ τοῦ ὅτι ἡ Σελήνη συμμετέχει τῷ Ἡλίῳ ἐν ταῖς γενέσεσι καὶ ταῖς φθοραῖς.

Περὶ δὲ τῆς Σελήνης λέγωμεν· καὶ αὐτὴ μεγίστην ἔχει ἐνέργειαν περὶ τὸν ἐν γενέσει καὶ φθορᾷ κόσμον· πλῆκτρον γὰρ ὀνομάζουσιν αὐτὴν τῶν οὐρανίων, ὡς διαβιβάζουσαν τὴν ἐνέργειαν αὐτῶν. ἔχει γὰρ ἐνέργειαν περὶ τὰ ὕδατα καὶ τὰς θαλάσσας καὶ τὰ ζῷα καὶ τὰ φυτά, περὶ τε τὴν ὑγίειαν τῶν σωμάτων καὶ τὰς νόσους, ἔτι δὲ καὶ τὰς κρισίμους ἡμέρας τῶν νόσων καὶ μάλιστα περὶ τὰς παλιρροίας τῶν θαλασσῶν· καὶ γὰρ αὐξανομένης μὲν τῆς Σελήνης συναύξεται ἡ θάλασσα, μειουμένης δὲ μειοῦται· καὶ πάλιν γίνεταί τι θαυμαστὸν ἐν τῷ Ὠκεανῷ, ἔτι δὲ καὶ ἐν πολλαῖς θαλάσσαις· ἥ τε γὰρ Περσικὴ θάλασσα καὶ ἡ τῶν Ἰνδῶν καὶ ἡ τῶν Σινῶν καὶ ἡ τῶν πλησίον αὐτῶν νήσων καὶ ἡ ἐν τοῖς δυτικοῖς μέρεσι τῆς Κωνσταντινουπόλεως, ὅτε μὲν ἀνατέλλει ἡ Σελήνη, αὔξει ἡ θάλασσα μέχρι ἂν μεσουρανήσῃ. ἀφ' οὗ δὲ ἀπὸ τοῦ μεσουρανήματος ἐκκλίνει, μέχρι οὗ δύνῃ, τοσοῦτον ἐλαττοῦται ἡ θάλασσα, ὡς καὶ τὰ πλοῖα τὰ ὄντα ἐν αὐτῇ ἐπὶ ξηρᾶς εὑρίσκεσθαι· ὅτε δὲ ἀπὸ δύσεως ὡς ἐπὶ τὸ ὑπόγειον κατέρχεται, αὔξει ἡ θάλασσα ..... ὅτε δὲ ἀνέρχεται ἀπὸ τοῦ ὑπογείου ὡς ἐπὶ τὸν ὡροσκόπον, συστέλλεται· ὅτε οὖν αὔξει ἡ θάλασσα ....., γίνονται αὐτῇ βίαιοι ἄνεμοι καὶ κύματα καὶ ἐξ

P(arisinum 2419) descripsit Boudreaux. Angelicum 29 [= astr. Rom. 2] f. 70 c. ιβ' contuli. — 2 τῇ γενέσῃ καὶ τὲς P 3 λέγομεν codd., corr. 4 τῶν P γενέσῃ P 5 ταύτην P 7 υγείαν sic P 8 τὴν νόσον spat. 3 litt. καὶ δὲ καὶ P μάλλισθα P 9 μὲν A : οὖν P 10 τι om. P 11 ἔτι A : καὶ P 12 πλησίων P : πλεῖον ut vid. A 14 αὔξῃ P μεσουράνήσει P 15 ἐκλήνει ἄχρι P 16 καὶ om. P 17 εὑρίσκεται P ὅταν A 18 Lacunam litt. 7 signavit A, om. P ὅταν codd.; corr. 19 ὅταν A Lac. 14 litt. A : 10 litt. P 20 αὐτ(ῇ) [vel αὐτ(ῆς)] βίαιοι A : αὐτοβίαιοι P

[1] Cf. *Introductorium in astronomiam Albumasaris* [= Apomasaris] *Abalachi*. Augustae Vindelicorum, 1489, p. A, 4 : " Post solem luna rerum testimonio accedit. Nonnullis enim vel de vulgo haud dubium est lunares accessus ad solem et recessus, ortus scilicet et occasus, incrementa lunae et decrementa aurarum, marium, in animalibus et graminibus et metallis qualitatum et quantitatum motus comitari „ etc. Cf. Roscher. *Ueber Selene und Verwandtes*, Leipsig, 1890, p. 61 ss. 184 s. et *Lexikon*, s. v. " Selene „ c. 646 ss.

αὐτῆς τεκμαίρονται οἱ κατοικοῦντες ἐκεῖ τῆς αὐξήσεως αὐτῶν· ὅταν δὲ μέλλῃ ὑπονοστῆσαι, παύονται οἱ ἄνεμοι καὶ τὰ κύματα. ταῦτα δὲ ὁρῶσιν οἱ ἄνθρωποι ἐναργῶς ἐν τοῖς αἰγιαλοῖς, ἐν δὲ τοῖς πελάγεσιν οὐ δύνανται ἐπινοηθῆναι αἱ αὐξήσεις αὐτῆς οὔτε αἱ ἐπινοστήσεις.

νε'. Περὶ τῶν ἐνεργειῶν τῆς Σελήνης.

Προείπομεν τὴν ἐνέργειαν ἣν ἐνδείκνυται ἡ Σελήνη περὶ τὰς τῶν θαλασσῶν παλιρροίας καὶ ὅτι, ὅτε αὐξιφωτεῖ, γίνεται πολλὴ ἡ παλίρροια, καὶ ὅτε λειψιφωτεῖ, γίνεται ὀλίγη· ὁρῶμεν δὲ τὴν ἐνέργειαν αὐτῆς καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν ζῴων· ὅτε γὰρ αὐξιφωτεῖ, γίνονται δυνατώτερα τὰ σώματα καὶ θερμότερα καὶ ὑγρότερα καὶ ἡ τούτων αὔξησις δήλη γίνεται· ὅτε δὲ λειψιφωτεῖ, γίνονται ἀσθενέστερα. καὶ ὅτε αὐξιφωτεῖ, οἱ χυμοὶ ἐκχέονται ἐπὶ τὰ ἔξω, ὅτε δὲ λειψιφωτεῖ, συστέλλονται ἐπὶ τὰ ἔνδον [1]. ἀλλὰ καὶ δι' ἀρρωστιῶν ὁρῶμεν ἀριδήλως τὴν τῆς Σελήνης ἐνέργειαν· ὅσοι γὰρ ἀρρωστοῦσιν αὐξιφωτούσης τῆς Σελήνης, δυνατῶν ὄντων τῶν σωμάτων αὐτῶν, δυνατῶς ἀποδιώκουσιν τὰς νόσους· ὅτε δὲ λειψιφωτεῖ, ἀδύνατά εἰσι τὰ σώματα καὶ ἀδυνάτως ἐναντιοῦνται ταῖς νόσοις [2]. διὰ δὲ τῆς Σελήνης τὰς κρισίμους ἡμέρας γινώσκομεν· καὶ γὰρ ὅτε τριγωνίζει τὸν ἴδιον τόπον, ὃν ἐπεῖχεν ἐν τῇ ἀρχῇ τῆς νόσου ἢ ἑξαγωνίζει ἢ τετραγωνίζει ἢ διαμετρεῖ, τηνικαῦτα λέγομεν τὰς αὐτῆς ἡμέρας κρισίμους. ἔχει δὲ ἐνέργειαν καὶ ἐπὶ τῶν τριχῶν τῶν ζῴων· ὅτε γὰρ αὐξιφωτεῖ, αὔξουσιν συντόνως αἱ τρίχες καὶ παχύνονται καὶ πληθύνουσιν· ὅτε δὲ λειψιφωτεῖ, ὀλιγοῦνται καὶ λεπτύνονται. ὁρῶμεν δὲ καὶ τὸ τοιοῦτον· ὅταν γὰρ

1 αὐτῆς A : αὐτοῦ P αὐτῶν P : om. A 2 μέλλει P 4 αἱ superscr. P οὐται P 7-8 τὴν — παλίρροιαν P, sed cf. p. 178, v. 8 9 δὲ P : καὶ A 10 ἐπὶ (alt.) om. A 10-11 αὐξηφωτὴ P 12 λειψιφωτὴ P 13 αὐξιφωτὴ P 14 ληψιφωτὶ deinde γίνονται ἀσθενέστερα exp. m. 1 P καὶ om. P 16-17 δύνατα ὄντα τὰ σώματα P 19 τὰς νόσους P 23 αὐξηφωτὶ P συντόνως corr. : συντόμως codd. 24 Post παχύνονται add. καὶ αὐξήνουσιν P καὶ P : ἢ A 25 καὶ P : ἢ A λεπτύνουσι A

[1] Cf. Firmic. Mat., IV, 1, 5; Plin. II, 99 § 221 et infra excerptum ex codice 8 (Paris. 2423), f. 23. Vide quoque Roscher, *op. cit.*, p. 62 s.

[2] De lunae virtutibus in morbis sanandis vel exacerbandis plurima effutierunt iatromathematici; cf. e. g. Pancharium, *Cat.*, I, p. 118 ss.; Galeni *Prognostica de decubitu* (t. XIX, p. 531 s. Kuhn); Hermetis Trism. *Iatromathematica* (ed. Ideler, *Physici et medici minores*, 1841, I, 387 ss. 440 ss.) et quae disseruerunt Bouché-Leclercq, *Astrol. gr.*, p. 516 ss., Roscher, *op. cit.*, p. 67 ss.

καθίσῃ τις ἐπιπολὺ ἢ κοιμηθῇ ὑπὸ τῆς νυκτός, χαυνοῦται τὸ σῶμα αὐτοῦ ἢ πολλάκις ῥευματίζεται ἢ κεφαλαλγία αὐτῷ ἐπιγίνεται[1]. ἀλλὰ καὶ τὰ κρέατα ὅταν τεθῶσιν ὑπὸ τὸ σεληνιακὸν φῶς, ἀλλοιοῦνται κατὰ τὴν ὄσφρησιν καὶ τὴν γεῦσιν[2]. ἔχει δὲ ἐνέργειαν καὶ περὶ τὰ γάλατα καὶ τὰ ᾠά· τῆς Σελήνης γὰρ αὐξιφωτούσης πληθύνουσι τὰ γάλατα ἐν τοῖς μαστοῖς· ὡσαύτως καὶ οἱ τῶν ζῴων μυελοί· αὐξιφωτούσης γὰρ αὔξονται, λειψιφωτούσης δὲ μειοῦνται[3]. ὡσαύτως καὶ τὸ λευκὸν τοῦ ᾠοῦ· ὅσα γὰρ ᾠὰ ἀπογεννῶνται αὐξιφωτούσης τῆς Σελήνης, ἔχουσι περιττὸν τὸ λευκόν, ὅσα δὲ μειουμένης, ἔχουσιν αὐτὸ ὀλίγον. ἀλλὰ καὶ κατ' αὐτὸ τὸ νυχθήμερον ἔχει ἐνέργειαν· ὅτε γὰρ ὑπάρχει ἡ Σελήνη εἰς τὸ ἀνατολικὸν τεταρτημόριον, αὔξουσι τὰ γάλατα ἐν τοῖς μαστοῖς τῶν προβάτων καὶ οἱ μυελοὶ [καὶ τὸ λευκὸν τοῦ ᾠοῦ, καὶ εἴπερ κατατηρήσει τις τὰ τοιαῦτα, εὑρήσει ταῦτα φανερά. ὁρῶμεν δὲ καὶ τοὺς ἰχθύας τῆς τε θαλάσσης καὶ τῶν λιμνῶν καὶ τῶν ποταμῶν αὐξιφωτούσης μὲν ἐξερχομένους ἐκ τῶν ἰδίων κοιτώνων καὶ πλατυνομένους κατὰ τὴν θάλασσαν καὶ παχυνομένους καὶ λιπαινομένους· ὅτε δὲ λειψιφωτεῖ εἰς τὰς ἰδίας καταδύσεις εἰσερχομένους καὶ ἐπὶ τὰ κατωτέρω μέρη τῶν ὑδάτων καὶ μὴ λιπαινομένους. καὶ κατ' αὐτὸ δὲ τὸ νυχθήμερον ἔξεστιν ὁρᾶν τὸ τοιοῦτον· ὅτε γὰρ ἀνατέλλει ἡ Σελήνη ἀπὸ τοῦ ὁρίζοντος μέχρι τοῦ μεσουρανήματος, ἐξαπλοῦνται οἱ ἰχθύες· ὅτε δὲ ἀποκλίνει τοῦ μεσουρανήματος, συστέλλονται. ἀλλὰ καὶ αὐτὰ τὰ ἑρπετὰ αὐξανομένης μὲν τῆς Σελήνης ἐξέρχονται ἐκ τῶν ἰδίων κοιτώνων καὶ καταδύσεων καὶ ἐξαπλοῦνται, λειψιφωτούσης δὲ συστέλλονται. ἀλλὰ καὶ αὐτὰ τὰ ἰοβόλα ζῷα αὐξιφωτούσης δάκνουσιν ἰσχυρῶς, λειψιφωτούσης δὲ ἀμυδρῶς. καὶ οἱ λέοντες ἐπιζητοῦσιν τὸ ἁρπάζειν αὐξιφωτούσης πλέον ἢ ἐπιζητοῦσιν λειψιφωτούσης. καὶ τὰ δένδρα καὶ τὰ φυτά, ὅτε φυτευθῶσι τῆς Σελήνης αὐξιφωτούσης καὶ ἐπὶ τὸ

1 καθήσει P 3 ὅτε P 4 ἀλλοιοῦντε P 5 γάλατα corrigere nolui 6 τῷ μάστῳ A 7 αὐξιφωτοῦσα P λειψιφωτοῦσα P 11 ἔχει corr. : ἔχουσι codd. Fort. deest verbum 12-13 μασθοῖς P 14 Leg. παρατηρήσει? φανερά A : ἐναργῶς P 18-19 εἰσερχόμενοι codd. 19 κάτω P Verbum velut καταβαίνοντας deesse videtur 23 μὲν om. P 24 κατὰ δύσεων P 25 καὶ om. P λειψιφωτοῦσα P 26 αὐξιφωτοῦσα P λειψιφωτοῦσα P 27 τὸ A : τοῦ P 27-28 αὐξηφωτοῦσα P 28 ληψιφωτοῦσα P

[1] Cf. Plin., H. N., II, 101 § 223; Macrob., VII, 16, 26.

[2] Cf. Manuel Comn., *Catal.* V, 1, p. 110, 13; Plin., *l. c.*; Plut. *Quaest. conv.*, III, 10, 3; Macrob., VII, 16, § 18, 32; *Comptes rendus Acad. Inscr.* 1918, p. 289 ss.

[3] Cf. Manuel. Comnenum, *Cat.* V, 1, p. 110, 5 s.

μεσουράνημα ἀνερχομένης, αὔξουσιν ἰσχυρῶς καὶ πληθύνουσιν καὶ καρποὺς ἀποδιδόασιν, λειψιφωτούσης δὲ τῆς Σελήνης καὶ ἀποκλινούσης τοῦ μεσουρανήματος ἀργοῦσιν, πολλάκις δὲ καὶ ξηραίνονται. ἀλλὰ καὶ λίνα καὶ ὑφάσματα, εἰ τεθῶσι νυκτὸς κατὰ τὰς αὐγὰς τῆς Σελήνης, εὔφθαρτα γίνονται, πολλάκις δὲ καὶ κόπτονται. ἔχει δὲ ἐνέργειαν καὶ περὶ τὰς ὀπώρας καὶ τὰ φυτὰ τὰ ὀσφραντὰ καὶ τὰ λάχανα· ὅτε γὰρ αὐξιφωτεῖ, αὔξεται κατὰ πολύ, ὅτε λειψιφωτεῖ, ὀλιγαυξεῖ. καὶ τοῦτο φανερῶς γινώσκουσιν οἱ γεωργοί· ὁρῶσι γὰρ τά τε λάχανα καὶ τὰ ῥοδάκινα καὶ τὰ βερίκοκκα καὶ τοὺς πέπονας καὶ τὰ ἀ<γγούρια> τὰ τετράγγουρα καὶ τὰς κολόκυνθας ὡς αὔξει κατὰ πολὺ αὐξανομένης τῆς Σελήνης, ὀλιγαυξεῖ δὲ μειουμένης. καὶ τὰ μέταλλα δὲ τῆς Σελήνης αὐξανομένης αὔξει[1] καὶ λαμπρύνεται, μειουμένης δὲ ἐλαττοῦνται, καὶ μάλιστα ὁ τε μαργαρίτης καὶ ὁ τίμιος λίθος.

De coniunctionibus et defluxionibus Lunae.

Excerptis de lunae virtutibus ex Apomasare haustis subiungere visum est caput Περὶ συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης, quod in eodem codice Angelico, f. 145, invenitur. — In collectaneis suis Palchus inseruit hoc caput, quod ex opere Astrologi anonymi anni 379, sicut ea quae antecedunt, eum fortasse descripsisse iam monuimus *Cat.* V, 1, p. 194, 212. Idem ex eodem astrologo repetiisse videtur Rhetorius quoque; cf. cap. κβ' codicis nostri 10, f. 227, infra editum : Τὰ ἀποτελέσματα τῶν συναφῶν καὶ ἀπορροιῶν, καθὼς διδάξω μετὰ ταῦτα, sed haec inter excerpta Rhetorii hodie servata desunt. Scriptor huius fragmenti certe deorum cultor fuit, quippe qui θεραπείας ἀπὸ θεῶν aegrotis promittit (p. 184, 28), sicut astrologus a. 379, *Cat.* V, 1, p. 210, et de μύσταις ἀποκρύφων loquitur, sicut Hermes Trismegistus et Valens (infra ad p. 184, 13). Totus sermonis color doctrinam quae hic profertur ex antiquis fontibus haustam esse prodere videtur, fortasse ex Hermete vel Petosiride.

Plane diversa sunt quae Περὶ τῶν συναφῶν τῆς Σελήνης praebet Antiochus, *Cat.* VII, p. 107 ss., nec non quae Περὶ τῶν συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης docet Theophilus (cod. 13, f. 41). Differunt ea quoque quae Firmicus Maternus, IV, 2 ss. ex auctore Aegyptiaco (Petosiride?) latine vertit.

2-3 ἀποκλίνουσα P 4 καὶ alterum om. A 5 γίνεται P δὲ om. A 8 ὀλιγαύξεῖ A : ὀλίγ' αὐξεῖ P ἐναργῶς P 9 καὶ τὰ ἀ lac. VIII litt. τὰ τετράγγουρα A : καὶ τὰ τετράγκουρα P; ἀγγούρια suppl. Delatte; cf. ipsius *Anecdota Atheniensia* I, 1927, p. 598, 18. 11 ὀλιγ' αὐξεῖ P 13 μάλλισθα P

[1] De sale, cf. Plinium, H. N., XXXI, 39, 4.

Περὶ συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης πρὸς τοὺς ἀστέρας, ὅσα ἐν τοῖς γενεθλίοις σημαίνει.

Κενοδρομοῦσα ἡ Σελήνη καὶ ἀκαταμαρτύρητος παρὰ τῶν ἀγαθοποιῶν, μετρίους, φιλερήμους ποιήσει, ἔτι δὲ μᾶλλον ἀφαιρετικὴ οὖσα οὐ μόνον μετρίους ἀλλὰ καὶ πτωματικοὺς ποιήσει· χεῖρον δὲ καὶ ἐὰν ὑπὸ δύσιν τύχωσιν ἢ ἀποκλίναντες. πρὸς δὲ τὰς φύσεις τῶν ζῳδίων τὰ συμβαίνοντα ἔσται.

Σελήνη Κρόνῳ συνάπτουσα, ἀνατολικὴ μὲν ὑπάρχουσα πρὸς βίον ἀγαθή· ὀφθαλμοὺς δὲ ἀδικεῖ καὶ στραβοὺς ἢ μύωπας ἢ γλαυκοὺς ἀποτελεῖ· πάντως δὲ σῖνος ἐν ὀφθαλμοῖς ποιήσει ἢ τὴν ὄψιν <ἀμαυρώσει>. καὶ τοὺς μὲν γεννηθέντας ποιεῖ συνετούς, ἀπροσκόπους δὲ περὶ τὰς πράξεις καὶ δειλούς· τῇ δὲ μητρὶ ψύξεις καὶ νόσους ποιεῖ. εἰ δὲ λειψίφωτος τύχῃ ἡ Σελήνη, ἔτι πλέον τὸ κακὸν ποιήσει καὶ τῇ μητρὶ καὶ τῷ τεχθησομένῳ· ἐὰν δὲ ἐκτὸς τῶν κέντρων Κρόνος τυγχάνῃ καὶ ὑπὸ τὰς τοῦ Ἡλίου αὐγάς, πολλῶν κακῶν αἴτιος ἔσται· νόσους γὰρ ἀπὸ ὑγρῶν ἢ ὀχλήσεις ἐπάγει. — Σελήνη Κρόνου ἀπορρέουσα σημαίνει τινὰ πρὸ αὐτοῦ γεγονέναι ἄχρηστον, ὡς αὐτὸν πρωτότοκον τοῦ οἴκου νομίζεσθαι· ποιεῖ δὲ σωμάτων ψῦξιν καὶ σῖνος καὶ νεύρων κακώσεις καὶ ὑγρῶν ὀχλήσεις. ἀφαιροῦσα δὲ τῷ φωτὶ ποιεῖ ψυχροκοιλίους, φλεγματώδεις, κατίσχνους, ἀσθενεῖς, ἀπὸ ὑγρῶν ἐνοχλουμένους, συντηκτικούς, ἀποστήματα, διαστήματα, πυρώματα ἔχοντας, μικροῖς χρόνοις † συνερικομους.

Σελήνη Διὶ συνάπτουσα ἐπὶ καλῷ τόπῳ ἑστῶτι εὐθανασίαν τῇ μητρὶ καὶ αὐτῷ εὐκλείαν παρέχει ἀγαθῶν· εἰ δὲ ὕπαυγος ὁ Ζεὺς ἢ ἐν κεντρικῷ τόπῳ, τῇ μὲν μητρὶ ἔκπτωσιν ποιεῖ, τῷ δὲ γεννηθέντι λεῖψιν ἀγαθῶν. — Εἰ δὲ τὴν ἀπόρροιαν ἀπὸ Διὸς ποιεῖται, θάνατον οἰκείων ἢ συγγενῶν ὄψεται καὶ δάκρυα ἕξει· καὶ τὸν οἶκον ἔρημον καὶ τὸν γάμον ἄστατον καὶ θάνατον γυναικὸς ποιήσει.

Σελήνη συνάπτουσα Ἄρει λείπουσα ποιεῖ τῷ τεχθέντι ἔκπτωσιν τῶν γονικῶν καὶ τῇ μητρὶ σῖνος ἢ πάθος ἢ τελευτήν· αὐτοὺς δὲ ποιήσει ὀξεῖς, τολμηρούς, θρασεῖς, βιαίους, ὠμοὺς· καὶ τὰς πράξεις μετὰ ἀπονοίας ποιουμένους· εἰ δὲ λείπουσα, τῷ Ἄρει συνάπτουσα, ἐν ἀγαθοῖς τοποῖς ὄντος τοῦ Ἄρεως, πρακτικοὺς τοὺς τοιούτους ποιεῖ καὶ

Cod. **A**(ngelicum) 29 [= Rom. 2], f. 145, cap. ρλη', descripsi. 3-5 cf. Firmic. Mat., IV. 8 9 ἀγαθὸν cod. 10 Post ὄψιν suppl. ἀμαυρώσει, cf. p. 183, v. 8 14 τυγχάνει cod. 19 Leg. <ἀπὸ> ὑγρῶν? cf. v. 16 20 καὶ ἰσχνούς cod. corr.; cf. Ptolem. *Tetr.*, IV, 16, p. 151, 22 (ed. 1553) : ὁ Κρόνος ποιεῖ ψυχροκοιλίους καὶ πολυφλεγμάτους καὶ ῥευματώδεις, κατίσχνους τε καὶ ἀσθενικούς 21 πορώματα ut vid. cod., cf. Ptol. *Tetr.*, p. 152, 4 22 συνερικομους vel — κομίους corruptum 23 εὐθανασίαν corr., cf. Valentem, 18, 3; 126, 27 : ἀθανασία cod. 24 αὐτῷ corr. : αὐτοῦ cod.; i. e. filio qui nascitur. εὐκλείαν Leg. εὐπορίαν? Cf. v. 26.

ὁρμητικοὺς καὶ ἀόκνους. εἰ δὲ μεστὴ τύχῃ ἡ Σελήνη, χείρονα τὰ κακὰ ποιεῖ καὶ αὐτῷ καὶ τῇ μητρί· ποιεῖ γὰρ τομὰς ἢ καύσεις ἢ κινδύνους βιαίους· ἐὰν δὲ ἡ Σελήνη αὐξιφωτοῦσα τύχῃ, ὁ δὲ Ἄρης ἀφαιρῇ τοῖς ἀριθμοῖς, χαλεπὸν τὸ σημεῖον καὶ πολλῶν κακῶν αἴτιον· νόσους τε γὰρ καὶ ἐκπτώσεις, ἔτι καὶ ὀρφανίας ἐπάγει. — Ἐὰν δὲ ἡ Σελήνη <τύχῃ> ἀπὸ Ἄρεος τὴν ἀπόρροιαν ποιουμένη, κακὴ πρὸς πάντα· ἀμβλυωπίαν ἀποτελεῖ καὶ πολλοῖς κακοῖς περιβάλλει καὶ ἐπὶ τέλει ἀμαυροῖ τὴν ὄψιν· παρέχει δὲ τὸ θυμικὸν καὶ ὀργίλον καὶ φρενῶν ἔκστασιν ποιεῖ. εἰ δὲ καὶ τῷ φωτὶ ἀφαιρεῖ ἡ Σελήνη ἢ καὶ τοῖς ἀριθμοῖς, τὰς διὰ χολῆς μελαίνης ὀχλήσεις ποιεῖ καὶ αἵματος ἀναγωγὰς καὶ δαιμόνων πάθη καὶ αἱμορροΐδας καὶ τομὴν καὶ χωρισμούς· ἐπὶ δὲ γυναικῶν ἐμβρυοτομίας καὶ τῆς ὑστέρας κίνδυνον. εἰ δὲ καὶ Κρόνος ἐπιμαρτυρήσει, φερομένης αὐτῆς ἀπὸ Ἄρεος ἐν ἀφαιρέσει τοῦ φωτός, καὶ περὶ τοὺς ἀπορρήτους τοῦ σώματος τόπους κρυπτὰ πάθη καὶ σίνη γίνονται.

Ἡλίου δὲ ἀπορρέουσα ἡ Σελήνη καῦσιν σωμάτων καὶ ὅσα διὰ πυρὸς συμβαίνει· ἐὰν δέ πως οἱ ἀστέρες ἐπὶ φάσεως τύχωσιν, γνωστέον ὅσων ἕκαστος μοιρῶν ἀποστὰς τοῦ Ἡλίου τὴν φάσιν ποιεῖται. ἐὰν δὲ οἱ δύο φωστῆρες κακωθῶσιν ὑπὸ Κρόνου καὶ Ἄρεως μαρτυρούντων αὐτοῖς, μαινομένους, φρενοβλαβεῖς ποιοῦσιν. Ἡλίου δὲ ἀπορρέουσα Σελήνη καὶ φερομένη ἐπὶ τὴν Ἀφροδίτην, μηδὲν βλαπτομένης τῆς Ἀφροδίτης ὑπὸ τῶν κακοποιῶν, τιμὴν καὶ χάριν δίδωσιν [καὶ] μούσης ποικίλης καὶ ἐπιστήμονας ἀποτελεῖ καὶ παιδείας πολλῆς* τινὰς δὲ μυροπώλας ἢ ἀνθοπλόκους ἢ τοιαῦτα μετιόντας ὅσα ἐν ἑορταῖς προσήκει· ἐὰν δὲ ἡ Ἀφροδίτη βλάπτηται ἢ ἐν τόπῳ κακῷ ἵστηται ἢ μαρτυρῆται ὑπὸ Κρόνου, ἐριουργοὺς ἢ ἱστουργοὺς ἀποτελεῖ.

Ἀπὸ δὲ Ἀφροδίτης ἀπορρέουσα τὰς ἡδονὰς καὶ <τὰ> πάθη καὶ πᾶσαν τὴν τῶν ἀφροδισίων φύσιν ποιεῖ· οἱ δὲ τοιοῦτοι ἀπὸ μικρᾶς τῆς ἡλικίας μιγήσονται γυναιξίν, οὐκ ἀγαθαῖς δέ. δυσπράκτους γὰρ καὶ πολυψόγους, ὁρμητάς, δυσχερεῖς καὶ ἀχαριστάτους ποιεῖ, νουνεχεῖς δέ.

Σελήνη μεστὴ πρὸς Ἑρμῆν ἑῷον ἀνατολικὸν φερομένη μύστας ἀποκρύφων ποιεῖ, γεωμέτρας, ἀκριβεῖς μαθηματικούς, καὶ μάλιστα

3 ἄρροις deinde signum Martis ἀφαιρεῖ cod. 6 τύχῃ suppl. 7 ἐπιτελεῖ cod. 9 τῷ φωτὶ corr. : τοῦ φωτὸς cod.; cf. p. 184, 1 12 ὑστέρας | f. 146r 16 Leg. Ἡλίῳ συνάπτουσα? cf. vv. 20-21 18 ὅσον cod. 23 καὶ del. Post πολλῆς lac. signavi 24 μυροπώλους cod.; cf. Ptolem., IV, 3, p. 179, 3 (ed. 1553) : μυροπώλας στεφανηπλόκους et *Cat.* V, 1, p. 189, 9 : μυροβαφίαις ἀνθοπλοκίαις ἐν delendum? 27 τὰ suppl. 29 Leg. γυναιξὶν <ὡραίαις μέν>? 30 An ὁρμητίας? Delatte ἀχαριτάτους cod. 32-33 cf. Herm. Trism., *Cat.* VIII. 4, p. 151, 26 : Ἑρμῆς ἑσπέριος τῶν ἀποκρύφων μύστας ἢ ἀριθμῶν (ubi leg. ἀριθμητικούς?) ποιήσει; vide quoque Valent. 7, 30; 10, 16; 37, 29.

ὅταν τὸ ζῴδιον <ᾖ> δίσωμον· ἐὰν δὲ λείπῃ τῷ φωτί, ληθάργους, μωρονοοῦντας περὶ τὰς πράξεις, φιλονεικοῦντας πρὸς τοὺς κρείττονας. ἀπόρροιαν δὲ ποιουμένη ἀπὸ Ἑρμοῦ σημαίνει περὶ ἤθους καὶ φρονήσεως· νοσεροὺς δέ, ἐμπράκτους, ἐνέργους ἀποτελεῖ· ἀλλὰ πρὸ αὐτοῦ οὐχ ἕξει ἀδελφόν· τὰ δὲ ὅμοια καὶ ἐπὶ θηλυκῆς γενέσεώς σοι νοεῖσθω.

Ἡ Σελήνη σύνδεσμον λύουσα καὶ ἐξ ἀποκρούσεως φερομένη λείπουσα φωτὶ σῖνος περὶ τὰς ὄψεις δηλοῖ, καὶ μάλιστα εἰ καὶ κακοποιὸς ἐπιθεωρήσῃ. Σελήνη ὡροσκοποῦσα, ἐὰν Ἄρης ἀπορρέων αὐτῆς τῷ Ἡλίῳ συναπτήσῃ ἐπὶ τοῦ ὡροσκόπου, ἀμφοτέρους τοὺς ὀφθαλμοὺς σίνουσι.

Σελήνη ἀπορρέουσα Κρόνου καὶ τῷ Διὶ συνάπτουσα περικτήσεις ἀπὸ καμάτων ἢ τόπων μεταβολὰς ποιεῖ· καὶ τὰ πάθη δὲ τούτου τεύξεται θεραπείας ἀπὸ θεῶν καὶ γῆρας ἕξει καλὸν καὶ τὰ πατρικὰ φυλάξει. Σελήνη ἀπὸ Διὸς ἐπὶ Κρόνον φερομένη τὴν κτῆσιν ἐλαττοῖ καὶ τὴν δόξαν ἀμαυροῖ καὶ πάθη ἀπὸ ὑγρῶν ποιεῖ καὶ ἀπὸ νόσων τὸ γῆρας ἀποτελεῖ.

Ἡ Σελήνη ἀπὸ Κρόνου ἐπὶ Ἄρεα φερομένη κακῶν λύσιν δίδωσιν. θερμοὺς δὲ ποιεῖ καὶ πρακτικοὺς καὶ βαρυθύμους καὶ ἀδιαλλάκτους εἰς φιλίαν καὶ ὑπὲρ τὸ δέον τιμωρουμένους τοὺς ἐχθρούς. ἡ δὲ Σελήνη ἀπὸ Ἄρεος ἐπὶ Κρόνον φερομένη μελαγχολικοὺς ποιεῖ καὶ ἐπινόσους, ψυχροὺς δὲ ἐν ταῖς πράξεσιν.

Ἡ Σελήνη ἀπὸ Κρόνου ἐπὶ Ἀφροδίτην φερομένη πρὸς μὲν πάντα καλή, πρὸς δὲ γάμον καὶ τέκνα κακή. Σελήνη ἀπὸ Ἀφροδίτης ἐπὶ Κρόνον φερομένη, ἑσπερίου μὲν ὄντος τοῦ Κρόνου, πρὸς γάμον καὶ τέκνα κακή, πρὸς δὲ τὰ ἄλλα πάντα ἀρίστη τυγχάνει· ἑῴου δὲ ὄντος Κρόνου πρὸς πάντα κακή.

Σελήνη ἀπὸ Κρόνου πρὸς Ἑρμῆν φερομένη στυφώδεις, πονηρούς βασκάνους, ἀμεταδότους, νωχελεῖς καὶ ἀνοήτους· ἐὰν δὲ ἑσπέριος ὁ Ἑρμῆς, ἀπὸ ἐπιστήμης ἢ γραμμάτων ἢ μεθόδων οἱ τοιοῦτοι ζῶσιν, παθῶν δὲ λύσιν ἕξουσιν· ἐὰν δὲ ἑῷος τύχῃ, ἀπὸ παιδείας σεμνῶς ζῶντας, τετυφλωμένους δέ. Σελήνη ἀπὸ Ἑρμοῦ ἐπὶ Κρόνον φερομένη ἐκκόπους ταῖς πράξεσιν καὶ τῷ βίῳ ἀποτελεῖ καὶ ψύξεις πραγμάτων, πολυνόσους δὲ καὶ ἐμπαθεῖς, ἀλλὰ φρονίμους καὶ εἰδήμονας καὶ προγνωστικοὺς καὶ μυστικούς.

1 ᾖ suppl. 4 Leg. φρονήσεως νοσερούς· ἐμπράκτους δὲ <καὶ>? 7 Σελήνη | f. 147r 9 αὐτῆς corr. : αυτοῦ cod. 10 ἀμφότεροι cod'; corr., cf. Ptol. p. 149, 13 : περὶ ἀμφοτέρους τοὺς ὀφθαλμοὺς τὸ αἴτιον ποιήσουσι 12 περικτήσει cod. 16 Leg. ἐπίνοσον? cf. v. 22 22 δὲ ψυχροὺς transp. cod. 28 στυφώδεις cod. cum tribus punctis superscriptis, ut vox corrupta indicaretur 32 σεμνῶς dubitanter scripsi : σεμνωτ' cum tribus punctis cod. Fort σεμνότητι 33 ἐκκόπους] Leg. ἐγκοπτικούς? cf. Valent. p. 196, 9 : περὶ τὰς πράξεις ἐγκοπτικούς, p. 2, 9 : ἐγκοπαὶ τῶν πρασσομένων etc. 33-34, cf. Valent. p. 198, 19 : πραγμάτων ψύξεις et Krollii indicem. 35 προγνωστικούς, μυστικούς] cf. Valent. p. 37, 28 ss.

Σελήνη ἀπὸ Ἄρεως ἐπὶ Δία φερομένη πάνυ καλὴ καὶ μάλιστα ὅταν ἑῷος ὁ Ζεὺς τύχῃ· ἐὰν δὲ καὶ ἑσπέριος, ἴασιν τῶν λυπηρῶν ποιεῖ. Σελήνη ἀπὸ Διὸς ἐπὶ Ἄρεα φερομένη προγνωστικὸν βίον φθείρει καὶ τὰ αὐτοῦ ἴδια ἐλαττοῖ, ἐὰν δὲ αὐξιφωτεῖ, πολὺ χεῖρον· μειοῦται δὲ τὰ κακὰ ὅταν φωτὶ λείπει, μάλιστα νυκτί. χειρότερον δέ ἐστιν ἡ Σελήνη ὅταν ἐπισήμους ἄγῃ ἡμέρας· ἐπισήμους δὲ λέγε ἐννεάδας μὲν τρεῖς, τὴν θ' καὶ ιη' καὶ κζ', ἑβδομάδας δὲ τέσσαρας, τὴν ζ' καὶ ιδ' καὶ κα' καὶ κη'· αὗται οὖν αἱ ἡμέραι τῆς Σελήνης ἐν ἅπασι παρατηρητέαι εἰσίν, ὡς ἀπὸ συνδεσμῶν τυγχάνουσαι.

Σελήνη ἀπὸ Διὸς ἐπὶ Ἀφροδίτην φερομένη πρὸς μὲν πάντα καλή, πρὸς τύχην καὶ τέκνα καὶ γάμον· ἔσθ' ὅτε δὲ καὶ μοιχοὺς ποιεῖ τοὺς τοιούτους· ἐὰν δὲ ἑῴα τυγχάνῃ ἡ Ἀφροδίτη, καλὴ πρὸς βίον καὶ δόξαν ἔσται, πρὸς δὲ τέκνα οὐχ ὁμοίως ἀγαθὸν τὸ σχῆμα. Σελήνη ἀπὸ Ἀφροδίτης ἐπὶ Δία φερομένη καλὴ πρὸς γάμον καὶ τέκνα καὶ κτῆσιν, κἂν ἐπίκεντρος τὴν συναφὴν ποιῆται· σίνη δὲ ποιεῖται περὶ τοὺς ὀφθαλμούς.

Σελήνη Ἡλίῳ συνάπτουσα ἐν ἀρσενικῷ ζῳδίῳ ἑστῶτι ἔνδοξον τὸν πατέρα σημαίνει καὶ πρώτην τὴν μητέρα τετελευτηκέναι· ἐν δὲ τε <πρώτῃ> ἡλικίᾳ νόσον καὶ φθίσιν ἐπάγει καὶ βίου ταπείνωσιν· προϊόντος δὲ τοῦ χρόνου εὐτυχεῖς καὶ ἐπιχαρεῖς καὶ πολλῶν φίλους ποιεῖ.

Σελήνη ἀπὸ Διὸς ἐπὶ Ἑρμῆν φερομένη εὐμαθεῖς καὶ φρονίμους ἀποτελεῖ, πρὸς δὲ τέκνα οὐκ ἔστιν ὁμοία. Σελήνη ἀπὸ Ἑρμοῦ ἐπὶ Δία φερομένη πρὸς τύχην καὶ τέκνα καὶ ἐπιστήμην ἀγαθόν· σοφοὺς γὰρ ἀποτελεῖ τοὺς τοιούτους καὶ πολυπείρους, καίτοι ὀλίγα παιδευθέντας.

Σελήνη ἀπὸ Ἄρεως ἐπὶ Ἀφροδίτην φερομένη, ἑσπερίων ὄντων ἀμφοτέρων, † πολυκνίμους ποιοῦσι καὶ θάνατον γυναικῶν ὁρῶντας· ἐὰν δὲ ἑῷοι ὦσι, καλὴ πρὸς βίον καὶ δόξαν, πρὸς δὲ τέκνα κακή. Σελήνη ἀπὸ Ἀφροδίτης ἐπὶ Ἄρεα φερομένη, ἑσπερίων μὲν ὄντων ἀμφοτέρων, πολυψόγους ἀποτελεῖ, [καὶ] πρὸς γάμον δὲ κακή, καὶ μᾶλλον δὲ θηλυκῆς οὔσης τῆς γενέσεως ἔλαττον ἔσται τὸ κακόν, ἀρσενικῆς <δὲ> χεῖρον· κίνδυνον γὰρ ἐπιφέρει διὰ δόξαν.

Σελήνης ἀπὸ Ἄρεως ἐπὶ Ἑρμῆν φερομένη, ἑῴων μὲν ὄντων ἀμφοτέρων, φρονίμους, ἐπιστήμονάς τινος λόγου· ἑσπερίων δὲ

3 προγνωστικόν vix sanum; cf. p. 184 v. 35 16 ποιεῖται cod. 20 πρώτῃ suppl.; post τε litterae IV obscurae in cod. ἐπάγη cod. 27 τοιούτους | f. 148r πολυπειρίους cod., cf. p. 186, 1. 29 πολυκνίμους, cum tribus punctis superscr. cod. Leg. πολυκινήτους vel. πολυκινδύνους; cf. Vett. Val. p. 104, 27 : Ἄρης δείξει... πολυκινήτους, πολυκινδύνους. 30 ἑῷος cod., corr. 33 δὲ suppl.

ὄντων πολυπείρους, κωφοὺς δὲ καὶ ἀστάτους καὶ ῥαθύμους, κάμνειν οὐ θέλοντας. Σελήνης ἀπὸ Ἑρμοῦ ἐπὶ Ἄρεα φερομένη, ἐῴων ὄντων ἀμφοτέρων, δεινούς, πανούργους, δημολόγους, ῥήτορας, ἐνδομύχους, ἀλλοτρίους βίους περιεργαζομένους· ἑσπερίων δέ, χαίροντας γέλωσι καὶ παιγνίοις αἰσχροῖς καὶ μιμουμένους τὰ αἰσχρά, δόλιον δὲ ἄνδρα καὶ λάλον καὶ μιμηλὸν <καὶ> ψεύστην καὶ ἀγαλλόμενον ἐν κακοῖς.

Σελήνη ἀπὸ Ἑρμοῦ ἐπὶ Ἀφροδίτην φερομένη <ἐῴων ὄντων ἀμφοτέρων> εὐφυεῖς, δαπάνους δὲ καὶ ἱλαροὺς καὶ ἐπιχαρεῖς· ἑσπερίων δὲ ὄντων αὐτῶν, θερμοὺς ποιεῖ καὶ ἀφικόρους. Σελήνης ἀπὸ Ἀφροδίτης ἐπὶ Ἑρμῆν φερομένη ἐῴων μὲν ὄντων, πλουσίους, εὐτυχεῖς, ἐνδόξους, εὐγάμους, εὐτέκνους· ἑσπερίων δέ, ἐγκρατεῖς ἀπὸ ἀφροδισίων καὶ σώφρονας ποιοῦσιν.

Ἀπὸ δὲ συνόδου φερομένη ἡ Σελήνη καὶ ἀγαθῷ ἀπαντῶσα μετὰ τὴν φάσιν εὐθέως τῆς συνόδου καλὴ πρὸς πρᾶξιν καὶ δόξαν. κακοποιῷ δὲ συμβάλλουσα κακόν. ἐκεῖνο δὲ σοι πρὸ πάντων νοείσθω ὅτι οἱ ὕπαυγοι καὶ ἐν τοῖς ἀποκλίμασιν ὄντες οὐδεμίαν ἔχουσι δύναμιν, οἱ δὲ ἐπὶ τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ ἔξαυγοι ἰσχύουσιν, ἐῴων δὲ ὄντων αὐτῶν θερμοὺς ποιοῦσιν ἐν τοῖς πράγμασιν.

F. 142. Περὶ τῶν ἀντιπόδων τῶν ὑποκάτω τῆς γῆς ἀνθρώπων καὶ τῶν λοιπῶν ζῴων[1].

Φασίν τινες τῶν φιλοσόφων ὅτι εἰσὶν ὑποκάτω τῆς γῆς ἀντίποδες ἤγουν ἄνθρωποι καὶ λοιπὰ ζῷα τετράποδά τε καὶ δίποδα καὶ παντοῖα·

1 πολυπειρίους cod. 4 ἐνδομοίχους cod. ἑσπέριοι cod., corr. Delatte 4-5 χαίροντες cod. μιμούμενοι cod. 6 καὶ suppl. 8-9 ἐῴων ὄντων ἀμφοτέρων suppl. 16 συμ|βάλλουσα | f. 148ᵛ 16 ss. ἐκεῖνο κ. τ. λ., additamentum posterius ? 17 ὄντες omis. in cod., suppl. ex Mediolanensi, 8, f. 142.

P(arisinum) 2419 [= 4]), f. 142, descripsit Kugener. **A**(= Parisinum 395, saec. XV), f. 41, contuli. **B** (= Parisinus 2494 [= 47], f. 62 primos decem tantum praebet versus usque ad συνίσταται. Contuli. — Περὶ ἀντιπόδων τῶν ὑποκάτω τῆς γῆς ἀνθρώπων καὶ τῶν λοιπῶν ζῴων B : Περὶ τῶν ἀντιπόδων τῆς τῶν ὑποκάτω ἀνθρώπων καὶ λοιπῶν ζῴων P : Περὶ ἀντιπόδων τῶν κάτω τῆς γῆς A 23 ἤγουν P : οἴγουν A : οἷον B δύποδα codd. καὶ παντοῖα om. B

[1] Ecclesiae Patres antipodes esse, quod philosophi Graeci docebant, omnes fere negavisse notum est (cf. Lactant., *Inst.*, III, 24; Aug., *Civ. Dei*, XVI, 9). Cosmas Indicopleustes ex S. Scriptura probare conatur omnino non licitum esse de antipodibus loqui (*Topogr. Christ.*, II, p. 157, cf. p. 119 = Migne, P. G., 88, p. 129, cf. p. 63) Hanc antiquorum doctrinam saeculo VIII Zacharias papa damnavit (Migne, P. L., LXXXIX, 946. Cf. *Realenc.* s. v. „Antipodes" col. 2533). Hic videmus Byzantinos usque ad saec. XV eiusdem fuisse sententiae.

καὶ βεβαιοῦνται τοῦτο οὕτως· ὅτιπερ ἐπειδὴ ὁ κόσμος ἐκ τεσσάρων στοιχείων συνίσταται, εἰσὶν δὲ ταῦτα τὰ τέσσαρα στοιχεῖα καὶ ἐν τῷ ἄνω προσώπῳ τῆς γῆς καὶ ἐν τῷ ὑποκάτω, γεννῶνται δὲ ἐξ αὐτῶν ἐν τῷ ἐπάνω προσώπῳ τῆς γῆς ἄνθρωποι καὶ ἕτερα ζῷα, δῆλον ὅτι γεννῶνται καὶ κάτω τῆς γῆς τὰ τοιαῦτα ζῷα, ἐπειδὴ καὶ τὰ αὐτὰ στοιχεῖά εἰσιν καὶ ὑποκάτω, ἅπερ εἰσὶν ἐπάνω· ἀλλὰ ταῦτα μὲν φληναφῶσιν Ἑλλήνων παῖδες· ἡμεῖς δέ φαμεν ὅτι ὥσπερ οὐ δύναται ἀπὸ κάτω δώματα ἄνθρωπος κατακεφάλως περιπατεῖν, οὕτως οὐδὲ ὑποκάτω τῆς γῆς εἰσιν ἄνθρωποι καὶ ἕτερα ζῷα, εἰ μὴ μόνον συρόμενα καὶ πετόμενα. καὶ ταῦτά εἰσιν ἐν τῷ ὑποκάτω προσώπῳ τῆς γῆς.

De paeonia.

Brevem tractatum de paeonia Iosephus Heeg iam edidit *Catal.*, VIII, 2, p. 167 ss. et egregiis annotationibus illustravit. Item formam recentiorem, Ἑρμηνεία τῆς πιονίας inscriptam, commentario docto explanavit Fridericus Pradel, ***Griechische und Süditalienische Gebete***, Giessen, 1907 [Religionsg. Vers. und Vorarb. III, 3] Nonnulla de paeonia ex epistula Thessali excerpsi *Cat.* VIII, 4, p. 260. Saepissime huius plantae usus in formulis magicis praecipitur; vide e. g. Delatte, ***Anecdota Atheniensia***, I, 1927, in indice p. 710. Cum multo plura de mirifica hac planta in codice Parisino 4 invenissem, ea quoque hic proferre statui, praesertim quod Iosephus Heeg observavit tractatum hunc necessitudine artissima cum capitulo libri primi Coeranidum (p. 13 ed. Ruelle) cohaerere atque utrumque ex libro Hermetis Trismegisti de plantis haustum esse.

F. 145. Περὶ τῆς παιωνίας τῆς γλυκυσίτιδος τῆς ἀλφαωνίας καλουμένης [Περὶ ἀποτελ(έσεως) καὶ μεταλήψεως τῆς παιωνίας]

Παιωνία δὲ εἴρηται διὰ τὸ τὸν Παιῶνα αὐτὴν εὑρηκέναι [ὑπ' ἐνίων δὲ τζηριτῶν καλεῖται] ἥτις τετελεσμένη λέγεται ἐν τῇ πρὸ ταύτης ·

1 καὶ om. A βεβαιοῦντε P A : βεβαιοῦσι B τοῦτο A : τοῦτον P : ταῦτα B περ ἐπειδὴ omis. B ἐπιδεί P τεσσάρων A B : δ' P 2 ἵσταται B, qui hic desinit. εἰσὶν P : εἰ σὺ A τέσσαρα A : δ' P 3 γῆς] Sequentia in f. 40 transposito P γένωνται A : γένονται P 5 γενῶνται A : γένωντι P καὶ τω sic P ἐπὶ δὴ A καὶ om. P 6 καὶ om. P 7 φλυναφῶσιν codd. ὥσπερ om. P 8 Leg. ὑποκάτω δώματος ? περιπατῆν A 10 συρόμεναι P : συρνόμενα A πετόμεναι P 10-11 καὶ ταῦτα — τῆς γῆς desunt in folio lacero A 12 Cod. **P** descripserunt Boudreaux et Delatte. Orthographica saepius tacite correxi. γλύκυσήτιδος cod. Leg. γλυκυσίδης ? 13 ἀλφαωνίας] cf. Coeran. p. 40, 27 14 Περὶ — παιωνίας. Titulus ruber paene evanidus 15 Παίωναν cod., cf. Coeran. 13, 6. 16-188, 1. Vetus hic liber in Coeranidibus saepius laudatur.

βίβλῳ ἀρχαϊκῇ καλουμένῃ. ἐν μειώσει Σελήνης ποίησον εὑρεῖν παιονίαν. ἱστάσθω δὲ ἐν τόπῳ περιφανεῖ καὶ περιβλέπτῳ· καὶ οὕτω δυνήσει ποιῆσαι, ὅταν εἰσέλθῃ ὁ Ἥλιος ἐπὶ τὴν Πάρθενον ζῴδιον· πλεῖσται δὲ φύονται περὶ τὸν Αἶμον ὄρος καὶ περὶ τὰ Ταυρομενίου ὄρη καὶ εἰς τὴν Βαβυλῶνα τὴν μεγάλην καὶ περὶ τὴν Θράκην <καὶ> πέραν Γαδείρων <καὶ> ἐν τῷ Αἰγαίῳ κόλπῳ· φύονται δὲ καὶ ἐν ἄλλοις τόποις, ἀλλ' οὐ τοσαύτην ὡς ἐκεῖ τὴν δύναμιν ἔχουσαι ἐκ τῆς θέσεως τοῦ τόπου καὶ τοῦ τῶν ζῳδίων κλήρου <καὶ> τῆς φυσικῆς ἀπορροίας· ὡς καὶ αὐτὸς δυνήσει ποιῆσαι οὕτως· ἐπειδήπερ ἀναγκαῖον, ὡς εἴρηται, ἐν διαφανεῖ τόπῳ ἑστάναι τὴν ἱερὰν ταύτην βοτάνην [ἢ καὶ οὕτως ποίησον], λαβὼν κόκκον μεμυκότα καὶ ἕτερον κεχηνότα καὶ περιειλήσας φύλλοις ζ' τῆς αὐτῆς βοτάνης, ἁγνῶς χῶσον ἐν ὑψηλῷ τόπῳ, ἔνθα βούλει· καὶ ὅταν ἀναφύῃ καὶ δήλη σοι γένηται τελείως, ὡς εἴρηται (φύλαττε δὲ αὐτὴν ἀπὸ ὑετῶν καὶ ἀνέμων καὶ ταραχῆς ἐαρινῆς), ἐν ἡμέρᾳ γοῦν Σελήνης ὥρᾳ πρώτῃ ἤγουν ἐν τῇ ὥρᾳ αὐτῆς οὔσης ἐν ἀποκρούσει, τοῦ Ἡλίου ὄντος εἰς τὴν Παρθένον ζῴδιον, πρὸ τοῦ ἀνατεῖλαι τὸν Ἥλιον, ἄπελθε ἁγνῶς καὶ ἐξ ἑτοίμου ἔχων δέρμα φώκης τετελεσμένης, καθὼς εἴρηται ἐν ταύτῃ τῇ ἱερᾷ βίβλῳ περὶ ἀνατομῶν. γράψον δὲ ἐπάνω τοῦ δέρματος ταῦτα· [signa magica], κρεμῶν δὲ λέγε ταῦτα·

Εὐλογητὸς ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ εὐλογημένον καὶ δεδοξασμένον τὸ ὄνομά σου τὸ ἅγιον. σὲ αἰνεῖ πᾶσα φύσις καί σε δοξάζει ἡ τῶν ἁπάντων παρὰ σοῦ ἰσχύς. σὺ γὰρ εἶ μόνος τέλειος, ἄναρχος, ἀόρατος, ἀπρόσιτος, ἀναλλοίωτος, ἀπερίγραπτος, ἀψηλάφητος, ἀίδιος, ἀνεξιχνίαστος, ἀνεξερεύνητος, ἀκατάληπτος, ἀρχὴ καὶ τέλος, ἄλφα <καὶ ὦ>, Ἀδωναΐ, Ἐλωίμ, Σαβαώθ, Πεμημεφοράζ, Γεσεραγέ, Ἀμνιά, Ἰανά, Σαδαέ· σὺ εἶ ὁ πτωχίζων καὶ πλουτίζων, ταπεινῶν καὶ ἀνυψῶν, παιδεύων καὶ πάλιν ἰώμενος, θανατῶν καὶ ζωογονῶν [παντοκράτορ κύριε, δημιουργὲ πάσης κτίσεως, ἀόρατε καὶ ὁρατῆς κτίσεως μέρος, τὰ μὲν οὐ συμφυῆ εἰς σύμφωνα ποιήσας

1 ἀλχαική cod. 2 παιωνίας ἰσθάτω cod. 3 δυνη ποιῆσε sic cod. 4 τὸν αἵμωναν cod. ταυρομενία cod. 5 βαβυλώναν cod. 5-6 καὶ bis suppl. Heeg 6 γαδήρων cod ἐγαίω cod. 8 τοῦ] τῆς cod. 9 δύνη ποιήσε cod. Verba repetita ex v. 2-3; cf. infra v. 10-11 10-11 ἢ — ποίησον delevi, cf. v. 2-3 11 μεμηκὸς cod., cf. Coeran. 13, 7 s. κεχυνος cod. 13 ἀναφύει cod. Leg. δείλη γένηται? cf. Heeg, p. 167, 16 13 τελείος vel τελείως cod. 14 φυλάττειν cod. 15 Leg. ἀερινῆς, sicut Heeg. 16 ἀποκρούσης cod. 17 ἁγνός apud Heeg ἐξετίμου cod. 18 τετελεσμένον, cf. Coeranid. p. 21, 25 et infra p. 190, 28 19-20 Signa magica codicis sui ed. Heeg, tab. II, nº 1; in Parisino hic, ac deinceps, perperam deformata sunt. 21 ss. De his vide quae adnotavit Heeg ad p. 168, v. 3 ss. 26 καὶ ὦ suppl., cf. Apoc., 21, 6; 22, 13 ἐλωὶ cod. σεμιμεφοράζ ap. Heeg 27 ἀμνοιά ap. Heeg 29. 189, 9 παντοκράτωρ et sequentia ap. Heeg desunt. Est precatio *Cat.* VIII, 3, p. 164, 23 ss. 30 μέρος dubit. correxi : μέρη cod. οὖ cod. : οὖν Delatte

ἀλλήλοις, ὡς ἰσοδυναμεῖν ἐν τοῖς ὑπ' αὐτῶν γινομένοις, τὰ δ' αὖθις ἀσυμπαθῆ καὶ ἀσύμφωνα, πλὴν καὶ οὕτως ἐκ τῆς δι' ἀλλήλων κράσεώς τε καὶ ἑνώσεως μῖξιν εὔκρατον συνίστασθαι καὶ εἶναι ταῦτα κήρυκας διαπρυσίους τῆς σῆς μεγαλότητος, αὐτὸς καὶ νῦν ἐν τῇ ἀναλήψει τῆς παρούσης βοτάνης, ἣν συμπαθεῖν ὁρίσας τῷ ἐκ τῶν πλανωμένων ἀστέρι τῷ..., εὐδόκησον ἰσχυρὰν καὶ ἐνδύναμον καὶ δραστικωτάτην εἶναι κατὰ τὴν τῶν βοηθημάτων χρείαν τῶν γινομένων εἰς ἀποτροπὴν τῶν συμβαινόντων νοσημάτων τῷ σῷ πλάσματι, συνεργοῦντος δηλονότι καὶ τοῦ αὐτοῦ ἀστέρος τῇ σῇ κελεύσει.] σὺ οὖν, κύριε τῶν δυνάμεων, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, καὶ δός μοι τὴν χάριν ταύτην, ἵνα γένηται ἡ βοτάνη αὕτη ὠφέλιμος ἀπὸ παντὸς φαρμάκου, ἀπὸ πυρετοῦ αὐθημερινοῦ, τριταίου, τεταρταίου καὶ παντὸς εἴδους πυρετοῦ ὅπερ ἐστίν, ἀπὸ δαιμόνων, ἀπὸ κακῶν ἐπιπομπῶν τῶν ἀνθρώπων, εἰς νικητήριον παντὸς αὐθέντου καὶ πάσης, καὶ ἀπὸ παντὸς φθόνου καὶ βασκανίας καὶ ἀπὸ πάσης ἐπιβουλῆς καὶ ἐπιληψίας· ἐπίχαρίν με ποίησον ἐν ταύτῃ τῇ ἱερᾷ βοτάνῃ καὶ ἡδέως ἀκουόμενον, καὶ ἔνθα ἂν ψαύσω τὴν παροῦσαν βοτάνην, ἵνα ἕλκω ὁποίαν βούλομαι, καὶ ὅστις λάβῃ ἐκ τοῦ φαρμάκου τῆς αὐτῆς βοτάνης, ἵνα γένηται ὑγιὴς ἔκ τε παθῶν τοῦ θώρακος καὶ στήθους, ἥπατος, σπληνὸς καὶ τῶν περὶ τὸ ἦτρον καὶ <τοὺς> νεφροὺς καὶ ἀπὸ ἀνέμου καὶ † σκίον καὶ ἡμικρανίας καὶ ποδάγρας καὶ ἀρθρίτιδος καὶ ἀπὸ παντοίας φθορᾶς ἀμπέλου ἢ ἀγροῦ ἢ κήπου ἢ παραδείσου καὶ ἀπὸ παντὸς ἐναντίου εἰσερχομένου εἴς τινα οἶκον ἢ εἰς κράτησιν λαλιᾶς ἢ εἰς δέσμωσιν αἰδοίου ἀνδρὸς ἢ <εἰς> ἀμνημοσύνην ἢ εἰς ἐμμήνων ἀγωγήν· καὶ ὅπου ἂν ἀπέλθω, εἴτε διὰ ξηρᾶς εἴτε διὰ θαλάσσης, μετὰ τῆς παρούσης βοτάνης εἴς τινα δουλείαν, διὰ τούτων τῶν βοτανῶν ἵνα εὐοδῶμαι εὐκόλως εἴτε ἀγορὰν εἴτε πώλησιν εἴτε ἄλλο τι. καὶ ὥσπερ ὁ λίθος ὁ μάγνης ἔχει τὴν χάριν ἐκ Θεοῦ καὶ ἕλκει τὸν σίδηρον καὶ οὐκ ἀφίησι αὐτόν, οὕτως ἵνα ἕλκω καὶ ἐγὼ τοὺς πάντας ἀνθρώπους, ἄνδρας καὶ γυναῖκας, διὰ τῆς παρούσης βοτάνης, καὶ ἵνα προστρέχωσι πρὸς μὲ πάντες οἷα θεῷ [καὶ] μετὰ δώρων· καὶ διὰ τὴν χάριν τοῦ ἁγίου Πνεύματος δι'

1 ὑπ'] ἀπ' coni. Delatte 2 Leg. σύμφωνα, sc. ποιεῖς? 3 συνίσθασθαι cod. 4 κήρυκῶς sic cod. μεγαλοιότητος cod. 6 Lac. III litt. in cod. 9 κελεύση cod. 10 κατηκητηρίου cod.; cf. Heeg, p. 168, 11. 11 δόξη cod. αὐτή cod. 12 cf. infra, p. 191, 8; Heeg, p. 169, 23 13 δαίμονας cod. 14 κακὰς ἐπιπομπάς cod. Cf. p. 191, 3 14 αὐθεντὸς sic cod. πάσης <μαγείας>? 16 ἐπὶ χαρὶ sic cod.; cf. infra p. 191, 9 ss. 16 ἰδέως cod. 18 ss. cf. p. 191, 27 ss, ex quoῆπ atos corr. : ἢ παντός cod. 20 τῶν] τὰ cod. περὶ] προσι cod. τὸν ἴστρον cod., correxit Heeg, cf. infra, p. 128, 1, p. 193, v. 7 τοὺς suppl. νεφρὰ cod., cf. p. 191, 29 20-22 ἄνεμον καὶ σκίον καὶ ἡμικρανίαν καὶ ποδάγραν καὶ ἀθρήτιδαν cod. : ὦμους καὶ ἰσχία coni. Delatte 23 δέσμοσιν cod. 24 εἰς suppl. Cf. p. 192, 23 ἐμήνων cod. Cf. p. 192, 26. 26 εὐοδούμαι sic cod. 26 ss. Cf. infra, p. 192, 32 ss. 27 πούλησιν cod. ἄλλον cod. 28 αὐτὸν οὕτως] τον et τως evan. in cod. 31 Cf. p. 193, 2 καὶ del.

αὐτῆς τῆς βοτάνης, ἔνθα εἰσέρχονται οἱ κλέπται, ἵνα τυφλώνωνται μὴ βλέποντες τὴν ὁδόν. καὶ ἵνα γένηται ἡ παροῦσα βοτάνη βοηθὸς πρὸς σύλληψιν καὶ ἀσυλληψίαν. καὶ ἔνθα ἂν βάλω τὴν παροῦσαν βοτάνην, εἴτε ἐν ἐμπλάστροις ἢ ἀλοιφαῖς, ἵνα καθαίρῃ καὶ ἀφουλῇ καὶ ὑγιάζῃ ἄχρις τέλους. καὶ ἵνα γένηται ἡ παροῦσα βοτάνη εἰς βόηθειαν τικτούσης. καὶ ἵνα γένηται ἡ βοτάνη αὕτη εἰς ἀποδημίαν ὠφέλιμος· καὶ ἵνα γένηται ἡ βοτάνη αὕτη εἰς ὁδὸν ἀπαρέμφατον ἐνεργές· καὶ ἵνα γένηται ἡ βοτάνη αὕτη βοηθὸς ἐν πολέμῳ. καὶ ἵνα γένηται ἡ παροῦσα βοτάνη βοηθὸς ἐν παντοίοις ὕδασιν. καὶ ἵνα γένηται ἡ παροῦσα βοτάνη ἐν ταῖς ἀναβάσεσι τῶν ἵππων καὶ ἐν φαράγγοις βοηθός. καὶ ἵνα γένηται ἡ παροῦσα βοτάνη ἐν αἷς ἂν χρήσωμαι θεραπείαις καὶ ἐν παντοίοις πράγμασιν καὶ πράξεσιν ὠφέλιμος, ὅτι εὐλογητὸς εἰ εἰς τοὺς αἰῶνας, ἀμήν.

Εἶτα καὶ τῇ Χαλδαικῇ καὶ Συρικῇ καὶ Περσικῇ διαλέκτῳ ταῦτα· αυγααχδὶ, χαυγχάφ, γιάσπ, λιάφ, φανάγ, μερέλ, σουλφάμ, μπερχάμ, μούχ, τίμ, λιάρ, ἀχροναφάτ, μουζουπάτ, λιρχάμ, ζαλφανῶ, τόθ, σέρφου, σελφού, νάμχ, ταχάγ, σιλχά, μπεμέλχ, ἀμήν, ἀμήν, ἀμήν, πάντοτε. ὁ Θεὸς ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. καὶ τὴν μὲν προτέραν εὐχὴν λέξον κατὰ ἀνατολὰς ἑπτάκις, ταύτην δὲ τὴν Χαλδαϊκὴν καὶ Συρικὴν καὶ Περσικὴν διάλεκτον ἅπαξ καὶ ποιήσας οὕτως ἔτασον ἐκεῖσε ἄχρις ἡμερῶν ζ' καὶ ἀπερχόμενος καθ' ἑκάστην ἐπίλεγε τὰς εὐχὰς πρὸ τοῦ ἀνατεῖλαι τὸν Ἥλιον. τῇ οὖν ἐλευσομένῃ ἡμέρᾳ ἤγουν δευτέρᾳ ἄπελθε ὥρᾳ πρώτῃ ἔχων μετὰ σοῦ κεραμίτ(ην) λίθον ἀπάτητον, δεδοκιμασμένον καὶ τετριμμένον καὶ σιδηρίτην ὡσαύτως καὶ βηρυλλίτην καὶ ὑποθυμίασον γυρόθεν τὴν βοτάνην ἐπιλέγων καὶ τὰς εὐχὰς ἀμφοτέρας. εἶτα ἀνορύξας ἀνάσπασον αὐτὴν μετὰ προσοχῆς καὶ χρῶ σοφῶς, ὡς σοι εἰρήσεται, καὶ ἔσῃ ταύτην ἔχων τετελεσμένην. διαιρήσας οὖν ἅπαντα κατὰ μέρος, τήν τε ρίζαν, τοὺς πτόρθους καὶ τὰ φύλλα καὶ τὸν καρπόν, τούς τε μεμυκότας καὶ τοὺς κεχηνότας, ἕξεις αὐτὰ κρείττονα πάντων τῶν προειρημένων εἰδῶν. ταύτην τὴν ἱερὰν βοτάνην Θεὸς Ἑρμῇ τῷ Τρισμεγίστῳ παρέδωκεν βροτοῖς ἀκε-

1 ss. cf. infra p. 193, 3 ss. 3 cf. infra p. 193, 5 s. βάλλω cod. 4 ἀληφᾶς cod. 7 ἀπαρέμφαντον Delatte 11-12 χρήσομαι θηραπείας cod., cf. Heeg, p. 168, 14 12 παντίοις 16 ss. Nomina barbara paulo differunt ab illis quae ediderunt Heeg, p. 168, 15 ss. et Pradel, p. 29, 6 s. 18 χερουβημ ἐξέγυρον cod. 20 ἑπτάκις Heeg : ζας (?) cod. τὴν omis. cod. 21 μίαν pro ἅπαξ cod., ex numero α' ortum., cf. infra p. 192, 3 23 ἀνάτειλε cod. 24 κεραμίτ' cod., cf. Heeg, p. 169, 8. Leg. κεραμῖτιν? 25 τετρυμένον cod. 26 βιρηλίτ' cod. 27 ἀμφοτέρων cod. ἀνώρυξας cod. προσευχῆς cod., cf. Heeg, p. 169, 10 29 πορίμους cod., cf. Heeg, p. 169, 12 30 μεμηκότας cod. Cf. p. 188, 11. κεχυνότας cod. 31 αὐτὰ Heeg l. c. : γὰρ cod. 32 Ἑρμῇ τ. Τρισμ.] cf. *Coeran.*, p. 3, 6

σόδυνον καὶ βιωφελές, ὥσπερ ἐν τοῖς ἱεροῖς τῶν Αἰγυπτίων ἐντετύπωται βίβλοις.

Καὶ τῆς μὲν ῥίζης ὁ κρατῶν μέρος τι ἐπιγράφων ἐν αὐτῇ τὰ ὀνόματα τοῦ θεοῦ τοῦ ὑψίστου, ἅτινά εἰσι ταῦτα [signa magica], οὐ φοβηθήσεται δαίμονας, οὔτε μὴν κακὰς ἐπιπομπὰς <αἳ> τοῖς ἀνθρώποις ἐγγίνονται. εἰ δὲ καὶ ἐπιγράψει καὶ ταῦτα τὰ σημεῖα [signa magica] καὶ κρατήσει, οὐ φοβηθήσεται φάρμακον, οὔτε ἄλλο τι κακόν. ἀποδιώξει γὰρ ἐξ ἑαυτοῦ τριταῖον καὶ τεταρταῖον καὶ πᾶν ῥῖγος πυρετῶν καὶ αὐθημερινῶν· ἀποδιώξει δὲ φθόνον καὶ βασκανίαν καὶ ἐπιβουλήν, ἐπίχαριν δὲ τὸν φοροῦντα ποιήσει καὶ ἡδέως ἀκουόμενον. εἰ δὲ ἐπιληψία πάσχει τις καὶ περιάψῃ ταύτην τὴν ῥίζαν, ἰάσει παραδόξως. εἰ δέ τις δαιμονιζόμενος ᾖ, θυμίασον ἐκ τῆς ῥίζης ταύτης μικρόν τι καὶ ὀλίγον καὶ διώξεις τὸν δαίμονα. τοῦτο θεῖον ἔργον. — Ῥιζίδιον τῆς βοτάνης βραχὺ <λαβὲ> καὶ τουράκισον καὶ σατύριον τοῦ ἀγράφου ἴσον καὶ λίβανον ἄρρενα λαβὼν ἔχε· εἶτα λαβὼν ὄστρακον, ἐπίγραψον μετὰ βελόνης χρυσῆς <τὸν ἐρώμενον καὶ> τὴν ἐρωμένην προσφιλοῦντας ἀλλήλους καὶ προσπεριπλεκομένους ὥρᾳ τρίτῃ τῆς νυκτός. εἶθ' οὕτως λαβὼν τὰ ὁμοιώματα ταῦτα, θυμίασον αὐτὰ μετὰ τὰς προειρημένας βοτάνας, θυμιῶν δὲ λέγε ταῦτα· " Οἱ τῆς ἀγάπης σωτῆρες παραστήσατέ μοι τὴν ἐρωμένην. „ καὶ εὐθέως παραστήσουσιν αὐτὴν κρούουσαν τὴν θύραν καὶ λέγουσαν· " ἄνοιξον, ἄνοιξόν μοι. „ τοῦτο δὲ τὸ μυστήριον μηδενὶ εἴπῃς. παραδέδωκά σοι τὴν ἰσχύν, ἵνα μάθῃς τὴν ἐν ἐμοὶ σοφίαν· ἄπεχε γὰρ <τῆς> τῶν γυναικῶν ὁμιλίας· πολὺ γὰρ ἐν αὐταῖς τὸ αἰσχρὸν καὶ μάλιστα ὅταν ἐν τοῖς καταμηνίοις ὑπάρχωσι.

Ἐκ δὲ τοῦ χυλοῦ σκευάζεται φάρμακον τοιοῦτον, ὅπερ πινόμενον ἰᾶται πάντα τὰ τοῦ ἐντὸς πάθη <περὶ> τόν τε θώρακα γινόμενον τι καὶ περὶ τὸ στῆθος, περὶ τε ἀμφότερα τὰ μέρη, ἤγουν ἥπατος, σπληνός, καὶ τὰ περὶ τὸν ὀμφαλὸν μέρη καὶ τὸ ἦτρον καὶ τὸ ὑπογάστριον καὶ τοὺς νεφρούς· καὶ ἁπλῶς μέγιστόν ἐστιν φυλακτήριον. ἔχει δὲ οὕτως. τοῦ χυλοῦ τῆς αὐτῆς βοτάνης οὐγγία α'. χυλοῦ ποταμογείτονος· οὐγγία α'. στύρακος καλαμίνθου ε'· θεογόνου ῥίζης α'· τὰ ξηρὰ τοῖς

1 βιοφελές ὅπερ cod. 2 ἐντετύποτο cod. 4 signa magica] Cf. Heeg, tab. II, 2 δαίμονας] Cf. Delatte, *op. cit.*, p. 551, 15 5 αἳ suppl. Cf. p. 189, 14 6 signa mag.] cf. Heeg, ibid. κρατὸν cod. 7 ἄλλον 8 cf. supra, p. 189, 12 et Delatte op. cit., p. 489. 9 Cf. p. 189, 15 s. 12 ᾖ (pro ἐστί) corr. : εἰ cod. 13 δαίμοναν cod., cf. *Coeran.* 13, 25 In marg. : Εἰς φίλτρον 14 λαβέ suppl. Delatte. Quae sequuntur apud Heeg, p. 170, 3 ss. omissa sunt τουράκισον non capio σατόριον cod. ἀγραφοὺς cod. ; non capio 15 λον ἄρεν cod. 16 τὸν ἐρώμενον καὶ suppl. 18 μὲτὲς cod. Post ταῦτα versus unus vacuus (60 litt.). In margine imae paginae manus posterior addidit : ποχάμλ· σχαμπαρχάμ, μπαραμ, ἁρμουδε quae fortasse in lacuna sunt inserenda 22 εἴπεις 23 τῆς suppl. 24 αὐτοῖς cod. μάλλισθα cod. 26 ss. cf. supra p. 189, 18 s. περὶ suppl. θώρακαν cod. 28 ἴστρον cod. cf. supra p. 189, 20 30 ποταμογύτονος cod. 31 καλαμήτου cod. θεογώνου (sic cod.) corruptum.

ὑγροῖς λειώσας τίθει ἐν ὑελίνῳ ἀγγείῳ· καὶ ὅταν ἐν χρείᾳ γένηται, δίδου ἐξ αὐτοῦ πίνειν ἑξάγια γ' μετ' οἴνου. ἐν δὲ τῷ πίνειν τὸν πάσχοντα, λέγε σὺ τὴν εὐχὴν ἑπτάκις, τὴν δὲ Χαλδαϊκὴν ἅπαξ καὶ ἰᾶται ὁ πάσχων.

Ποιεῖται δὲ καὶ ἐκ τῆς ῥίζης φυλακτήριον πρὸς φυλακὴν ἀμπέλων καὶ χωραφίων καὶ κήπων. ἐπίγραψον ἐν αὐτῇ μετὰ μαχαίρας κερμαΐ ταῦτα [signa magica], καὶ κρέμασον ἐν ὑψηλοτάτῳ δένδρων, ὥστε ἀπὸ μετεώρου περισκοπεῖν τὰς ἀμπέλους ἢ τὰ χωράφια ἢ τοὺς κήπους· καὶ εἰ ταῦτα ποιήσεις, οὔτε ἀπὸ χαλάζης βλαβήσεται οὔτε πάχνης καὶ ἄγαν ὑετοῦ ἢ καὶ πρηστῆρος· ἀποδιώξει δὲ ἐξ αὐτοῦ καὶ πᾶν φθοροποιὸν τῶν ζώων καὶ ἑρπετῶν, ἤγουν κάμπην, ἀκρίδα, βράχον, ἐρυσίβην, πάλχον καὶ βοῦχον καὶ πηλοχάμ τὸν φθείροντα τὰ λάχανα καὶ τοὺς καρποὺς τῶν φυτῶν καὶ τὸν χούμενον τὸν νυκτερεύοντα πρὸς τὰς ῥίζας τῶν δένδρων καὶ κατεσθίοντα καὶ χοῦν τὸν φθείροντα τὰς ἀμπέλους τὴν νύκτα,

Περὶ κλεπτῶν.—Εἰ δὲ ἐν ἑτέρῳ ῥιζίῳ ἐπιγράψεις ταῦτα· " τομηρί, φατνηρί „ καὶ κρεμάσεις ταῦτα ὄπισθεν τῆς θύρας τοῦ οἰκήματος, ἀποδιώξεις ἀπὸ τοῦ οἴκου ἐκείνου πᾶν κακόν, ποιήσεις δὲ τὸν οἶκον ἐκεῖνον εὐτυχῆ καὶ εὐδαίμονα.

Περὶ ἀποκοπῆς φωνῆς. Εἰ δέ τις <ἀποκοφ>θῇ τὴν γλῶσσαν καὶ οὐ λαλεῖ, κάπνισον αὐτὸν ἐκ τῆς ῥίζης λέγων οὕτως· " φριήλ „ καὶ ἰάσεις.

Εἰς ἀμνημοσύνην. — Εἰ δέ τις ἐστιν ἀμνήμων μασησάσθω ὀλίγον ἐκ τῆς ῥίζης καὶ ἐν τῷ πιεῖν τὸν ὀπὸν ἐπίλεγε τοῦτο τὸ ὄνομα· " Ῥαφαήλ „ καὶ ποιήσεις τὸν νοῦν εἰς ἄκρον.

Εἰς ἐποχὴν ἐμμήνων. — Ἐὰν δὲ καὶ γυνή τις ἐποχὴν ἐμμήνων πάσχῃ δὸς πιεῖν ἐκ τοῦ χυλοῦ τῆς ῥίζης οὐγγίαν α'· λεγέτω δὲ [καὶ ταῦτα· " ἀφά, χαμά, ναί, ἀλλά, φαζά, ταμανά „ καὶ ἰάσεις. ποιήσει γὰρ πολὺ καταμήνιον. στήσεις δέ, εἰ ἕτερον χυλὸν ἄνευ τῆς φωνῆς δώσεις πιεῖν.

Κλόνους δὲ τοῦ φυτοῦ λαβὼν <γράφε>. " γενεμπτρί γαργάρ „ βάσταζε καὶ εἰς οἵαν δουλείαν ὁρμήσεις ἵνα εὐοδοῦσαι εὐκόλως καὶ

1 ὑελύνῳ cod. ἀγγ' cod. 3 ss. cf. supra p. 190, 20. 6 κερμαΐ] γερμαΐ apud Heeg, p. 171, 5; non capio 7 signa magica, paulo differunt a tab. II, n° 4, ab Heeg edita 8 μετεώρων cod. 11 ἀκρήδαν cod. βράχον non capio 12 πάλχον, βούχὸν (sic), πηλοχάμ verba mihi ignota. Pro βούχον leg. βοῦφον = *bubo*? 13 φοιτῶν cod. χούμενον vox mihi ignota 14 χοῦν vix sanum 15 νύκταν cod. 16 Titulus hic et sequentes in margine adscripti sunt. ριζίον sic cod. 18 τὸν οἶκον ἐκεῖνον cod.; cf. Heeg, p. 170, 7 19 εὐδαίμοναν 20 ἀποκοφθῇ Delatte : θεῖ cod. 23 μασε.σάτω cod. 25 ἄκρος cod. 26 σμήνων πάσχει cod.; cf. p. 189, 24 Dioscor. III, 140 (p. 150, 3 Well.) 29 πολὺν cod. εἰ Delatte : εἰς cod. 30 δώσεις] ἡ δύσις vel δοσσ' cod. 31 γράφε suppl. Delatte εὐοδοῦσε cod., cf. p. 189, 26

ἔχῃς δὲ καὶ τιμήν ἔνθα ἀπέλθῃς καὶ ἵνα προστρέχωσιν οἱ ἄνθρωποι πρὸς σὲ οἷα θεῷ. εἰ δέ τις ἐπιγράψει εἰς φύλλα ταῦτα τὰ ὀνόματα. « αρκεῦ, ἰλί » καὶ ἐπιθήσει εἰς φλιὰν οἴκου, ἔνθα εἰσέρχονται κλέπται, τυφλωθήσονται μὴ βλέποντες τὴν ὁδόν. ὁ δὲ καρπὸς αὐτῆς ποιεῖ πρὸς σύλληψιν καὶ ἀσυλληψίαν. ἐάν τις γυνὴ πάσχει ἀσυλληψίαν, ἐκ τοῦ μεμυκότος καρποῦ λαβὼν καὶ περιειλήσας ἐν ῥάκει σηρικῷ ἀληθινῷ, δὸς φορεῖν τῇ γυναικὶ εἰς τὸ ἦτρον καὶ καθέξει τὸ σπέρμα. δέον ἐπιγράφειν καὶ ταῦτα ἐπάνω τοῦ ῥάκους [signa magica]. τοῦτο δὲ καὶ τὰς στείρας ποιεῖ τίκτειν, ἀσύλληπτον δὲ ποιεῖ τὴν τίκτουσαν· ἐκ τοῦ κεχηνότος στύρακος ἕνα λαβὼν κόκκον καὶ περιειλήσας ἐν δέρματι φώκης τετελεσμένης περίαψον ἐν τῷ ἤτρῳ ὡσαύτως ἐπὶ τρισὶν κύκλοις σεληνιακοῖς ἐν μειώσει Σελήνης· καὶ οὕτως ἔσται ἄγονος. δεῖ δὲ ἐπιγράφειν ἐν τῷ δέρματι καὶ ταῦτα· [signa magica]. εἰ δὲ βούλει δοκιμάσαι αὐτό, ποίησον ἐν ζῴῳ ἢ ὀρνέῳ τινὶ καὶ οὐ τέξεται.

Ἐκ δὲ τῶν κόκκων σκευάζεται ἔμπλαστρον ὅπερ ἐκβάλλει τὰς ἀγγίνας καὶ τὰ σαπρὰ ἕλκη καὶ δυσούλωτα καθαίρει καὶ ἀποκαθιστᾷ. ἔχει δὲ οὕτως· τῆς βοτάνης τῶν κόκκων λίτρα α'. τοῦ χυλοῦ τῶν πτόρθων οὐγκία α'· χυλοῦ ἐλελισφάκου οὐγκίαι β'· μεμαχὰμ τῆς ῥίζης οὐγκίαι β'· κηροῦ οὐγκία α'· στέαρ χηνὸς οὐγκία α'· τερεβενθίνης οὐγκία α'· ταῦτα ἑνώσας ἔχε. καὶ ὅταν ἐν χρείᾳ σοι γένηται, ἐπιτίθεται. ὅταν δὲ ἑνώσῃς ταῦτα, λέγε οὕτως· « ἀώ, ἰῶ, ἰών, ἐλωί, οἰχάμ, χιάκ, ζαμπρί, ριφά, χάμ. »

Εἰ δὲ ἐν βίᾳ ᾖ τίκτουσα καὶ ἔχῃ κίνδυνον, λάβε κεχηνὸς σπέρμα τῆς βοτάνης καὶ τίθει αὐτὸ εἰς ἔλαιον. ἀπὸ δὲ τοῦ αὐτοῦ ἐλαίου ἄλειφε τὴν ὀσφὺν καὶ τὸ ὑπογάστριον, καὶ ἀλύπως τέξεται. καὶ οὕτως ποιῶν ἔσῃ τετελεσμένος.

Οὐ δὲ γνωσθῇ ταῦτα καὶ μὴ ἑτέρῳ δώσεις ἢ τέκνῳ, ἀλλ' ἐὼν μόνον ὡς θησαυρόν.

1 ἔχεις cod. 1 ss. Cf. supra, p. 189, v. 30 3 φλοιὰν cod. 3 ss. Cf. supra, p. 190, 1 ss. 4 ὁ] εἰ cod. 5 Cf. supra, p. 190, 3 5 ss. Cf. Heeg, p. 170, 22; *Coeran.*, p. 13, 14 ss., p. 231 6 συρικῷ cod. 7 ἴστρον cod., cf. *Coeran.*, l. c. περὶ τὸ ἦτρον ζωννύσθω. Item habet ἴστρον cod. supra, p. 189, 20, infra v. 11 10 Post κεχηνότος lac. statuit Delatte, cf. Heeg p. 167, 13. ἓν cod. 11 δέρμα cod., cf. supra, p. 188, 17 ; Heeg, p. 167, 20 τετελεγμένης cod., τετυλιγμένῳ coni. Delatte, sed cf. Heeg l. c. ἴστρῳ cod., cf. supra, v. 7 12 κύκλοις σεληνιακοῖς scripsi : ἀθεληνιακοῖς cod. καὶ οὕτως bis iter. cod. 13 ἄγωνος cod. 14 βούλλει δοκιμάσε cod. 16-17 ἀνκίνας cod. 17 δυσούλοτα cod. 18 πόρθμων cod., corr. Delatte 19 μεμαχὰμ quid sit nescio 21 γένοιτε cod. ἐπίθεται cod. 24 εἰ τικτ ..... χει cetera evanida. Cf. *Coeran.*, p. 13, 9 : Εἰ ἐν ὠδῖσιν ἐστὶν ἡ τίκτουσα καὶ ἔχει κίνδυνον 26 ὀσφὴν cod. ἀλείπως cod., corr. ex *Coeran.* 28 οὐδὲ γνώθη cod. : οὐδεὶς γνώσῃ coni. Delatte δόσεις cod. Fort. ἔχε μόνος Delatte

EXCERPTA EX CODICE 8 (Paris. 2423).

Ex astrologo anonymo saeculi XII (p. 198, v. 30).

De Dracone caelesti.

Vetusta opinio per totum fere mundum pervagata statuebat in caelo immanem draconem habitare, qui cum solem et lunam devoraret vel occultaret, defectiones eorum (cf. p. 199, 17 ss.) efficiebat. De hoc serpente caelesti saepe apud astrologos agitur, qui nodos cursus lunae sive Ἀναβιβάζοντα et Καταβιβάζοντα caput et caudam eius esse docebant (Bouché-Leclercq, *Astr. Gr.*, p. 122 s.) et mirabilia multa de natura et motibus monstri illius fabulantur (cf. *Catal.*, V, 2, p. 131 ss.; VII, p. 123 ss.; VIII, 3, p. 197; X, p. 10, p. 71). Quam doctrinam ad Chaldaeos referendam esse iam capitulum in Catalogo Romano editum prodit (V, 2, p. 131 ss.) et hoc excerpto Parisino confirmatur; nam non solum Chaldaeos et Babylonios auctores laudat astrologus qui illud conscripsit (p. 195, 2, 12), sed etiam, cum addit eos illum draconem ἀθαλίαν appellare, optime edoctus esse videtur; scilicet *ath'alia* nomen draconis est syriacum, quod voci assyriacae *antaluu, attaluu* respondet (Nöldeke et Bezold, *Zeitschr. für Assyriol.*, XXV, p. 356 ss.). Hunc *ath'aliam*, cuius corpus ingens dimidia caeli parte extendebatur, lunam ore absorbere vel motibus abscondere Syri vulgo credebant (Nöldeke, *l. c.* ; Nau, *Journal asiatique*, 1910, 1, p. 220 ss.; *Revue de l'Orient chrétien*, XV, 1910, p. 253 s [ex Severo Sebocht], cf. etiam Kayser, *Das Buch von der Erkenntniss der Wahrheit*, 1893, p. 253, 29 et infra p. 199, 18 ss.).

Commenticia sane sunt ista, sed late diffusa fuerunt et fides vulgi diu memoriam servavit draconis maligni quem veteres Babylonii in caelo collocaverant; cf. *Apoc. Ioh.*, XII, cum commentariis; *Acta Philippi*, 144 p. 86, Bonnet : ἕως ἂν παρέλθω πάντας τοὺς κοσμοκράτορας καὶ τὸν πονηρὸν δράκοντα τὸν ἀντικείμενον ἡμῖν. Multa de terribili dracone caliginis externae qui mundum circumdat et duodecim cubicula habet, ubi peccatores truduntur, narrat *Pistis Sophia* gnosticorum (cf. Schmidt, *Koptisch-gnostische Schriften*, index s. v. " Drache der äusseren Finsterniss „). Eundem draconem obscurum, qui in tertio caelo vivit et cuius venter Hades est, describit *Apocalypsis Baruch Graeca* (cf. James, *Apocrypha anecdota*, II [Robinson, *Texts and studies*, V], 1897, p. 186; cf. Introd., p. lix ss. et Boll, *Zur Erforschung der Astrol.* [*Neue Jahrb. für das Klass. Alt.*, XXI], 1908. p. 120, n. 1.) Cf. etiam *Cat.* VII, p. 245, 5 et figuram, p. 246; adde

saec. VI, Olympiodorum Alexandrinum, 18 (Ruelle, *Alchimistes grecs*, p. 80): ἱερογραμματεῖς τῶν Αἰγυπτίων βουλόμενοι κόσμον ἐγχαράξαι ἐν τοῖς ὀβελίσκοις ἢ ἐν τοῖς ἱερατικοῖς γράμμασιν δράκοντα ἐγκολάπτουσιν οὐροβόρον, τὸ δὲ σῶμα αὐτοῦ καταστικτὸν ὑπάρχει πρὸς τὴν διάθεσιν τῶν ἀστέρων.

F. 9. Περὶ Ἀναβιβάζοντος λόγος πρῶτος.

Βαβυλώνιοι ἤγουν Χαλδαῖοι ἀθαλίαν καλοῦσιν τοῦτον ὑπάρχοντα πνεῦμα δρακοντοειδές, δικέφαλον, δίουρον καὶ τὴν μίαν κέφαλῶν αὐτοῦ ὑπάρχειν † δῶμ' εἰπεῖν Ζυγῷ, τὴν δὲ ἑτέραν ἐν τῷ Σκορπίῳ· ὁμοίως δὲ καὶ τὰς οὐρὰς τὴν μίαν ἐν τῷ Κριῷ κατὰ διάμετρον τοῦ Ζυγοῦ, τὴν δὲ ἑτέραν ἐν τῷ Ταύρῳ. ὃς κρατεῖ τοῦ ζῳδιακοῦ κύκλου τὸ τρίτον μέρος τὴν πορείαν ποιούμενος ἀναφορικῶς καὶ τὴν μετάστασιν τὴν ἀπὸ τοῦ Ζυγοῦ ἀπὸ τριάκοντα μοιρῶν ἀρχόμενος περαιοῖ καὶ μεθίσταται τὴν ἀρχὴν πάλιν ποιούμενος ἀπὸ τῆς τριακοστῆς μοίρας τῆς Παρθένου ἐπὶ Ζυγόν. ὁμοίως δὲ καὶ ἡ οὐρὰ ἐν τοῖς Ἰχθύσιν ὡσαύτως μεθίσταται· διατρίβει δὲ ἐν ἑκάστῳ ζῳδίῳ ἥ τε κεφαλὴ αὐτοῦ καὶ ἡ οὐρὰ μῆνας ιθ' καὶ ἡμέρας ζ'. Βαβυλώνιοι δὲ ἀνὰ θ' μῆνας καὶ ζ' ἡμέρας ὁρίζονται ὑπάρχειν, ἡμέρας δὲ οὐχ οὕτως. ἀλλὰ τὰς δύο αὐτοῦ κεφαλὰς καὶ τὰς δύο οὐρὰς κατὰ διάμετρον ἀνὰ ἓν ζῴδιον κρατεῖ καὶ τὴν ἐνέργειαν ἐν αὐτοῖς ἀποτελεῖ. ταύτην οὖν τὴν πορείαν ποιεῖται ἀεὶ μήτε ὑστερῶν μήτε ἀφαιρῶν, ἀλλὰ μᾶλλον μίαν κίνησιν ποιεῖται εἰς τὸ ὄπισθεν. καὶ μᾶλλον τῶν κακοποιῶν ἀστέρων οὗτος κακοποιότερος τυγχάνει· ὁ δὲ Τοξότης καὶ οἱ Δίδυμοι ὑπακούουσιν αὐτῷ καὶ μείζονα τὰ κακὰ ἐν τούτοις ἀποτελεῖται καὶ ἡ μὲν κεφαλὴ οὐχ ὁμοίως κακὰ ἐργάζεται ὅσα καὶ ἡ οὐρὰ αὐτοῦ.

F. 9v. Περὶ Ἀναβιβάζοντος λόγος δεύτερος.

Ἔστι δὲ ὁ Ἀναβιβάζων ὁ καλούμενος δράκων ὁ ἐκλειπτικὸς κινῶν πάντως ἐκ τῶν ἐναντίων, κρατῶν τὸ ἡμισφαίριον τοῦ οὐρανοῦ, καὶ ὅπου δ' ἂν λάχῃ, κατὰ διάμετρον ἔστιν ἡ οὐρὰ ἡ καλουμένη Καταβιβάζων καὶ διὰ τοῦτο ζήτησις ἐστι περὶ τῶν καταρχῶν πρὸς ἕκαστον πρᾶγμα· καὶ δεῖ σκοπεῖν τὴν Σελήνην κατ' ἐπίβασιν φερομένην πρὸς πάντας τοὺς πλάνητας καὶ διὰ τεσσάρων ἂν λάχῃ ζῳδίων πρὸς τὸν Καταβιζάζοντα, χαλεπή ἐστιν, καὶ ὁμοίως πρὸς τὸν Ἀναβιβάζοντα, ἢ

2 τοῦτο cod. 4 δῶμ' εἰπεῖν corruptum 8 Ζυγοῦ corr. : ζωδίου cod. 9 μεθιστᾷ cod.? cf. v. 11 12 Babylonii Chaldaeis opponuntur, sicut apud Valentem p. 353, 12 13 μῆνας ex μοίρας corr. cod. ἡμέρας — οὕτως non capio 14 Leg. αὐτοῦ? 19 αὐτῷ corr. : αὐτοὶ cod. ἐν evanid. 22 διάκονος cod. : δράκων corr., cf. p. 199, 16 23 πάντως corr. : πάντας cod. 24-25 Καταβιβάζων. Signum ♌ (i. e. Ἀναβιβάζων) praebet cod. 25 Leg. τούτων? i. e. Ἀναβιβάζοντος καὶ Καταβιβάζοντος 27 ζώδιον cod.

ὅπου πατήσῃ ἢ τὴν κεφαλὴν ἢ τὴν οὐρὰν † καὶ ἄκουε ἐν τοῖς ἐκλειπτικοῖς. καὶ ὁμοίως λείπουσα πρὸς Κρόνον φερομένη κακὴ κατὰ τὰ τετράγωνα· καὶ ὥσπερ πρὸς Κρόνον λείπουσα κατὰ πάντα κακή, οὕτως καὶ πρὸς Ἄρεα καὶ Ἀφροδίτην κατὰ πάντα ἀγαθή· πρὸς δὲ Κρόνον, καθὼς ἂν λάχῃ τὰ ἐναντία, κακὴ κατὰ τρίγωνον· τρίγωνα δέ εἰσιν ἓξ, τετράγωνα δ', ἑξάγωνα γ', διάμετρον δέ ἐστι τὸ ἐξ ἐναντίας· τὰ δὲ ϛ' ἀπόστροφα· καὶ ἂν λάχωσιν οἱ φθοροποιοί, λέγω δὴ Κρόνον καὶ Ἄρεα, κατὰ τετράγωνα, χαλεποί, κατὰ δὲ τρίγωνα, ἀγαθοί· ὅμοιον γάρ ἐστι τῶν τριγώνων· καὶ τὰ χαλεπὰ τῶν τετραγώνων ὅμοιά εἰσι τῶν διαμέτρων· καὶ περὶ τῶν ἀγαθῶν [δὲ] ὁμοίως.

Ἔστι δὲ καὶ οὕτως σκοπεῖν· ὁ ὡροσκόπος τοῦ κόσμου ἐν τῷ Καρκίνῳ· ἐπειδὴ κάθυγρον τὸ ζῴδιον καὶ οἶκος Σελήνης λεγόμενον τὸ † σῶμα καὶ τροπικὸν καὶ ἄφοβον καὶ ἄστατον· καὶ διὰ τοῦτο οὐδὲ παράμονον τῷ βίῳ ἀλλὰ πάντα ἀλίσκεται ἀλληνάλλως. καὶ εἰς τὴν γένεσιν τῆς κοσμικῆς <διαθέσεως> διαλαμβάνει ἕκαστος τῶν ἀστέρων τὴν χρονοκρατορίαν χίλια ἔτη. τοὺς καθολικοὺς χρόνους ἐπιμερίζει τοῖς ἄλλοις πλανήταις, καὶ ἕκαστος λαμβάνων ποιεῖ πρὸς τὴν δύναμιν αὐτοῦ κατὰ τὰ κλίματα· ἐὰν φθοροποιοὶ λάβωσι, ποιοῦσιν σῖνος, κατακλυσμούς, σεισμούς, ἀκαταστασίας, λοιμοὺς καὶ λιμούς, ἀλλὰ καὶ διχοστασίαν οἴκου· ὁμοίως δὲ καὶ ἐὰν ἀγαθοποιοὶ [λάβωσι, ποιοῦσιν εἰρήνην, εὐσταθίαν, εὐφρασίαν καὶ ὅσα ἄλλα καλά. καὶ διὰ τοῦτο οὐκ ἔστιν ὁμόνοια παντὶ καὶ πανταχοῦ· ὁμοίως δὲ ἐπὶ τῶν ἀνθρώπων ἐάν τις γεννηθῇ, ἕκαστος λαμβάνει τὴν χρονοκρατορίαν ι' ἔτη καὶ θ' μῆνας· καὶ ἐὰν μὲν ἐπὶ ἡμερινῆς γενέσεως ὁ Ἥλιος εὐθὺς λαμβάνει, ἐὰν δὲ ἐπὶ νυκτερινῆς Σελήνη. καὶ κατὰ ἀκολουθίαν οἱ ἔμπροσθεν ἀστέρες δεξιᾷ λαμβάνουσιν ἕκαστος ὁμοίως καὶ τὰ ι' ἔτη καὶ τοὺς θ' μῆνας.

Sequuntur nonnulla alia minoris momenti.

De Circo.

Antiqui, cum circensibus mirum in modum dediti essent, saepe ad magiam confugerunt, ut factionis adversae agitatores vel equos defigerent (Audollent, *Defixion. tabellae*, n^{os} 234 ss.; Friedländer, *Sittengesch.*, II^{8}, p. 350, Maurice, *Comptes rendus Acad. Inscr.*, 1926, p. 86), saepe ad astrologiam recurrerunt, ut victoris nomen sciscitantibus proderetur. Itaque Firmicus Maternus mathematico hoc dat consilium (II, 30, 12) : " Secerne te ab spectaculorum semper illecebris, ne quis te fautorem alicuius esse partis existimet „. Haud raro inveniuntur apud astrologos Graecos capitula " de hippodromo „ ubi diversi modi indicantur praedi-

1 καὶ ἄκουε vix sanum 4 Ἄρεα Leg. Δία ? 5 λαλῇ cod. 11 τὸ σῶμα cod. Leg. δίχρωμον ? Cf. *Cat.* I, p. 166, 15 15 διαθέσεως suppl. 16 χίλια ἔτη] cf. *Catal.* IV, p. 114 ss.; V, 2, p. 135, 6 ss.; VIII, 3, p. 199; Chwolsohn, *Die Ssabier*, I, p. 766 18-19 κατακλεισμοὺς cod. 25 δεξιὰν cod.

cendi ex astris quis equorum cursu victurus sit (*Cat.* V, 3, p. 127 ex cod. Romano, 20, cf. Albohazen Haly filii Abenraget ed. Liechtenstein, Basileae, 1571, p. 132, cap. XXIII, p. 340, cap. XCVIII) [1].

Hoc autem excerptum quod edimus, quamvis saeculi sit duodecimi p. C. N. [p. 198, 30], doctrinam profert ex antiquis scriptoribus haustam (τ. 2 : Παλαιοί). Nam cum veteres astronomi singulis planetis colorem proprium tribuerent, nempe caeruleum Mercurio, album Veneri, rubrum Marti, viridem Lunae (Vett. Val., I, 4; Rhetor., *Cat.*, VII, p. 214 ss., cf. Boll., *Beobacht. farbiger Sterne* [Abhandl. Bayer. Akad., XXX], 1918, p. 20; Roscher, *Lexikon*, s. v. " Planeten „ col. 2531), singulae factiones circi, quae iisdem coloribus distinguebantur, cum quattuor astris societate quadam hic coniunguntur. Omnino has factiones cum deis quibusdam vel cum quattuor elementis cognationem propriam habere saepissime traditur (Tertull., *De spect.*, 9 [e Suetonio ?]; Lydus, *De mensib.*, IV, 30, p. 89 Wünsch.; Malalas, *Chronogr.*, VII, p. 172 ss. Bonn, cf. *Mon. myst. Mithra*, II, p. 69 s. ; Soveri, *De ludorum memoria praecipue Tertulliana*, Helsingfors, 1912).

Haec iam scripta erant, cum doctissimus iuvenis Petrus Wuilleumier egregium commentariolum mihi obtulit, ubi locis Graecorum astrologorum accurate editis et Francogallice versis de colorum relatione cum factionibus circi optime disseruit (*Mélanges de l'Ecole fr. de Rome*, XLIV, 1927, p. 1-26). Ad hanc dissertationem lectorem delegare iuvat.

F. 17. Ἀποτελεσματική.

Οἱ παλαιοὶ καὶ τὰ περὶ τοῦ ἱπποδρομίου κατασκεψάμενοι διένειμαν καὶ τὰ χρώματα πρός τινας τῶν ἀστέρων· καὶ τῷ μὲν Ἑρμῇ δεδώκασι τὸ βένετον, τῇ δὲ Ἀφροδίτῃ τὸ λευκόν, τὸ ῥούσιον τῷ Ἄρει, τὸ πράσινον τῇ Σελήνῃ, τῷ Διὶ τὴν νίκην καὶ τὴν ἥτταν τῷ Κρόνῳ, ἤγουν τὸν βλέποντα ἀπὸ τούτων ἀστέρα τῷ Διὶ νικητὴν ἀποφαίνοντες, τὸν δὲ βλέποντα τῷ Κρόνῳ ἡττώμενον· τὸν δὲ Ἥλιόν τινες μὲν βοηθεῖν τῷ ῥουσίῳ ἀπεφήναντο διὰ τὸ πυρῶδες, οἱ πλείους δὲ καλοῦσι μεσίτην, πεποιήκασι <δὲ> ὡς μέσον καὶ κοινὸν ἀστέρα· ἄλλοι δὲ τὴν Σελήνην

9 δὲ suppl. Sol medius dicitur quia quartum locum in serie Chaldaïca planetarum obtinet. Cf. Boll, *Realenc.* s. v. " Hebdomas „ col. 2567 ss.

[1] Eadem fere quae initio huius capituli Parisini inveniuntur, sed corruptiora, traduntur in excerpto codicis Ambrosiani 886 (= C, 222 inf.), f. 42, quod comiter petenti mihi descripsit amicus eruditissimus C. O. Zuretti :

Σ^{η} περὶ τοῦ ἱπποδρόμου.

Ἰστέον ὅτι ἡ Σελήνη βοηθεῖ τοῖς πρασίνοις, ὁ δὲ Ἥλιος τοῖς ῥουσίοις· ὁ δὲ Κρόνος καὶ ἡ Ἀφροδίτη τοῖς βενέτοις· ὅταν οὖν τύχῃ ὁ Ἥλιος εἰς τὴν Ἀφροδίτην, ἐν ἐκείνῃ τῇ ὥρᾳ ἂν ἐλαύνωσιν, οἱ βένετοι νικῶσιν· ὅταν δὲ εἰς τὸν Ἄρην, νικῶσιν οἱ πράσινοι· οὗτος γὰρ αὐτοῖς βοηθεῖ. ἂν δὲ Ζεὺς τύχῃ ἐπίκεντρος, ἤγουν ἐνι εἰς τὸν ὑπέργειον καὶ εἰς τὸ ἄδυτον (?) τότε ἀναμφιβόλως νικῶσιν οἱ βένετοι μᾶλλον δὲ κἂν καὶ ἡ Σελήνη τυγχάνῃ ἀφώτιστος καὶ νεύῃ πρὸς τὸ ταπεινότερον καὶ κατώτερον τῆς μεσημβρίας. — Cf. Wuilleumier, *l. c.* p. 2.

κατὰ τὰς ἀρχὰς καὶ τὰ τέλη ἀπὸ τῆς διχοτομίας αὐτῆς, ἤτοι ἀπὸ τῆς ζ′, ὡσαύτως καὶ κατὰ τὴν πανσέληνον ἄχρι τῆς ζ′ καὶ αὐτὴν εἶπον βοηθεῖν τοῖς βενέτοις, ἔκτοτε δὲ τοῖς πρασίνοις. τοῦτο δὲ εὐδοκεῖν· ἀλλὰ διὰ τὸ ἀσθενεῖν αὐτήν, ὡς φαίνεται, ὅτε ὀλίγου φωτὸς εὐμοιρεῖ, λέγουσι μὴ δύνασθαι βοηθεῖν. διὰ τοῦτο ἀπὸ τῆς ἀτυχίας τάχα ἔχουσι τὰ τῶν βενέτων καλῶς. καὶ ἐπεὶ τότε ἔχουσιν οἱ ἀστέρες τὴν δύναμιν, ὅτε ἐν ἰδίοις οἴκοις ἢ ὑψώμασιν ἢ τριγώνοις εἰσὶν ἢ ὁριοκράτορες ἢ ταχυδρομοῦντες ἢ ἀπὸ ἀγαθῶν σχημάτων τὸν Δία ἢ τὸν Ἥλιον βλέποντες, ἐξ ἀνάγκης ὁ ἀποτελεσματικὸς πρὸ τῶν ἄλλων βλέπει ταῦτα καὶ δίδωσιν ἀπὸ τούτων τὰς νίκας, εἰ δὲ ὑποποδισμοί εἰσιν ἢ ὑπὸ κακοποιῶν βλεπόμενοι ἢ παρὰ τοῦ Ἡλίου καιόμενοι ἢ εἰς τὰ αὐτῶν ἐναντιώματα ἢ εἰς ἀλλότρια ὅρια κακοποιῶν ἢ ἀπὸ κακῶν σχημάτων ἤτοι τριγώνων <ἢ> καὶ δύνοντες ἢ ταπεινώμενοι τὸν Κρόνον βλέποντες, τότε ἀποφαίνονται κατὰ τούτων τὴν ἧτταν, καὶ διὰ τοῦτο πολλάκις ἀπετύγχανον τῶν ἀποφάσεων.

Καὶ διὰ τοῦτο ὁ Ἀλεξανδρινὸς ἐκεῖνος Θεόδ(ω)ρ(ος), πολυπειρότατος ἐπὶ τῇ ἐπιστήμῃ γενόμενος καὶ μᾶλλον ἐπὶ πλέον τὰ περὶ τοῦ ἱπποδρομίου πολυπραγμονήσας, εὗρε καὶ ἑτέραν μέθοδον ἀναγκαιοτάτην, οὐδὲ ταύτην μὲν παραδραμών, ἀλλὰ ἀποβλέπων καὶ πρὸς ταῦτα, λεπτοτέραν ἐποιήσατο τὴν κατασκόπησιν καὶ διέγνω τοὺς ὑπερτείους ἀστέρας τῶν ὑπὸ γῆν εἶναι δυνατωτέρους καὶ τὴν νίκην τούτοις ἀπένειμεν, οἷον λόγου χάριν ἐὰν ἡ Ἀφροδίτη ὑπὲρ γῆν ἐν τῇ ὥρᾳ τοῦ δρόμου ἐτύγχανεν, ὁ δὲ Ἄρης ὑπὸ γῆν κατὰ τὸν αὐτὸν καιρόν, τὴν νίκην τῷ λευκῷ ἐδίδου· εἰ δὲ καὶ ἀμφότεροι ὑπὲρ γῆν, ἐν τῷ κέντρῳ δὲ τῷ ὑπὲρ γῆν ἐτύγχανεν ὁ εἷς, πάλιν τὴν νίκην τῷ ἐπικέντρῳ ἀστέρι ἐδίδου. καὶ τοῦτο ἔχων παρ' ἑαυτῷ μέχρι τινὸς ἔλεγεν οἵῳ μέρει ἐβούλετο ὅτι « <κατὰ> ζ′ ὥραν γενέσθω τὸ ἱπποδρόμιον ἢ η′ ἢ ϛ′ καὶ † ὗα νικήσει θάτερον μέρος ». ἐκ τούτου οἱ πολλοί, μᾶλλον δὲ σχεδὸν οἱ πάντες, μὴ γινώσκοντες τὸ αἴτιον, τοῦτον ὡς μάγον κατέκριναν· οἷον τι γέγονε καὶ ἐπὶ τῷ γενομένῳ κατὰ τὴν ι′ (ἰνδικτιῶνα) τοῦ ,ϛχμ′ ἔτους ἱπποδρομίῳ· ἔθους γὰρ ὄντος κατὰ τὴν ζ′ ὥραν ἢ ἀρχὴν η′ ἢ καὶ ὅλην η′ γίνεσθαι τὸ ἱπποδρόμιον, παρεξετάθη ἄχρι τῆς θ′ καὶ ἀπέκλινεν ἡ Σελήνη ἀπὸ τοῦ ζ′ τόπου εἰς τὸν ϛ′, ἤτοι τὸν περὶ σίνους τόπον, καὶ αὐτίκα ἐτζακίσθη ὁ πράσινος, τῆς Ἀφροδίτης ἐν μεσουρανήματι πιπτούσης καὶ τὸ πᾶν τοῦ λευκοῦ ἐνεργήσαντος, ὡσὰν † δ. μάθης

2 ὡσαύτως dubium in cod. Verba corrupta, cf. quae adnotabat Wuilleumier, p. 4, n. 1. 3 πρασίνοις] σινοις evan. 6 δύναμιν] ναμιν obscurum. 10 Leg. ὑποποδίζοντες ? 13 ἢ suppl. 16 ἀλεξανδρηνὸς cod.; vir ignotus, ut videtur. cf. tamen *Cat.* V, 3, p. 76; VII, p. 188, 249 25 τῷ corr. : τὸ cod. ἐπικέντρῳ corr. : ὑπὸ κέντρῳ cod. 27 <κατὰ> suppl., cf. v. 31; cetera in sermone barbaro corrigere nolui 28 ὗα cod., non capio. 30 Annus 1132 p. C. n., qui est decimus indictionis 34 τζακίζειν " frangere „, " confringere „ [Ducange] 35-36 Verbum obscurum in cod.

Ex sequentibus codicis Parisini foliis nonnulla tantum excerpo :

F. 23. Τὰ ἀσχημάτιστα τῆς Σελήνης, ὡς λέγουσιν οἱ παλαιοί σχεδὸν καὶ τῶν κακῶν σχηματισμῶν χείρονά εἰσίν. χρὴ δὲ γινώσκειν ὅτι τὴν Σελήνην λέγουσιν καὶ εἰς τὰ σωματικὰ ταῦτα πλεῖον τῶν ἄλλων ἀστέρων μετέχειν, ὡς προσγειοτέραν καὶ σὺν ἡμῖν τάχα τυγχάνουσαν, καὶ ἀπὸ ταύτης κρίνονται αἵ τε κατακλίσεις τῶν ἀρρώστων καὶ τὰ λοιπὰ σωματικὰ καὶ ὅτι τοῦτο οὕτως ἔχον ἐστὶ δηλοῦται καὶ ἀπὸ τῶν ὀστρακοδέρμων καὶ τῶν σεληνιαζομένων καὶ τῶν ἀμπωτίδων καὶ τῶν λοιπῶν ῥευμάτων.

F. 23ᵛ. Πᾶς ἀστὴρ πλησιάζων τῷ Ἡλίῳ πρὸ ιε′ μοιρῶν ἢ μετὰ δεκαπέντε μοιρῶν καὶ κρυπτόμενος ὑπ' αὐτοῦ ἢ καὶ καιόμενος οὐκ ἔστιν ἀγαθὸς ἀλλ' ἐπιβλαβής· ὁ γὰρ Ἥλιος ἐπικρατέστερος καὶ δυνατώτερος πάντων ὢν τὴν δύναμιν τῶν πλησιαζόντων, τούτους ἀμβλύνει παντελῶς καὶ ἐξασθενεῖ καὶ ποιεῖ αὐτοὺς οὐδέν. βλάπτεται δὲ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἀπὸ μόνου τοῦ Ἀναβιβάζοντος καὶ Καταβιβάζοντος, ἀμφότερα τὰ φῶτα πρὸ τρίων ἢ μετὰ τρεῖς μοίρας· λέγουσι δὲ τὸν Ἀναβιβάζοντα εἶναι τὴν κεφαλὴν τοῦ λεγομένου δράκοντος, τὸν δὲ Καταβιβάζοντα τὴν οὐρὰν τούτου καὶ αἱ σεληνιακαὶ καὶ αἱ ἡλιακαὶ ἐκλείψεις τότε γίνονται ὅτε πλησιάζουσιν εἰς τὰς συνόδους καὶ εἰς τὰς πανσελήνους μετ' αὐτῶν <καὶ> ἀτονοῦσιν οἱ δρόμοι τῶν τοιούτων ἀστέρων ἐκ τῆς συναφείας τούτων, καὶ διὰ τοῦτο ἀργούντων αὐτῶν περὶ τὴν ἰδίαν βάσιν ἀποκρύπτονται τὰ φῶτα αὐτῶν. καὶ εἰ μέν ἐστι πανσέληνος, γίνεται ἔκλειψις τῆς Σελήνης, ὅτι πανφαὴς οὖσα καὶ τὸν κόσμον ὅλον αὐτῆς ἔχουσα ἐν τῇ διαμετρήσει τοῦ Ἡλίου ἀφαιρεῖται ποτὲ μὲν τὸ φῶς αὐτῆς ὅλον, ποτὲ δὲ τὸ ἥμισυ ἢ πλεῖον ἢ ἔλασσον, ὡς πρὸς τὴν σύνοδον τοῦ Καταβιβάζοντος ἢ Ἀναβιβάζοντος. ὁ δὲ Ἥλιος ὑφίσταται τὴν ἔκλειψιν περὶ τὴν σύνοδον τῆς Σελήνης συντρεχούσης αὐτῷ καὶ διὰ τὴν βραδυπορίαν ἀμαυρούσης τὰ φῶτα αὐτοῦ.

2 ss. De Lunae effectibus, cf. *Cat.* V, 1, p. 110 et Apomasarem supra p. 178. 12 τούτου cod.; corr. 15 Corrige ἀμφοτέρων τῶν φώτων τρίων μοιρῶν cod., corr. Delatte 17 Cf. supra p. 195 18 ss. cf. *Cat.* VII, p. 123 s., Boll, *Realencycl.* s. v. " Finsternisse „, col. 2332. 19 καὶ suppl. 23 αὐτὴ cod., corr.

EXCERPTA EX CODICE 9 (Paris 2424).

F. 212v. Σκευασία μέλανος[1].

Λαβὼν ὕδωρ ὄμβριμον λίτραν μίαν, λαχὰν καθαρὸν τετριμμένον οὐγγίαν μίαν, καὶ σουνᾶν ἐξ(α)γ(ία) δ', ἕψησον πρῶτον τὸν σουνᾶν, καὶ διυλίσας ἤτοι σακελίσας εἴσαξον τὸν ζωμὸν εἰς τζυκ(ά)λ(ιον) γανωτόν, καὶ ἂς ζεσταθῇ καλῶς· εἶθ' οὕτως βάλ(λε) τὸν τετριμμένον λαχὰν ἐντὸς τοῦ τζυκαλίου, καὶ ἂς βρά́σ(ῃ) καλῶς. καὶ μετὰ τὸ ἑνωθῆναι τὸν λαχὰν καὶ γενέσθαι ὡς ζωμὸν ἔξελε τὸ ἀγγεῖον ἀπὸ τῆς εἰστίας καὶ μετὰ τὸ χλιαθῆναι σακέλισον αὐτὸ καὶ ἀπόσφιγξον τὸ σύνθεμα, ἕως οὗ στραγγιθῇ καλῶς. εἶτα βάλλε καὶ στῦψιν ὀλίγην, ἄχρις ἂν ἀρέσῃ σοι τὸ χρῶμα· ἔκτοτε βάλλε καὶ κομίδην τετριμμένον καὶ τάρασσε αὐτὸ καθ' ἑκάστην.

Amicitia seu inimicitia Lunae cum planetis.

Tractatus hic tribus tantum codicibus ad nostram videtur aetatem pervenisse primum Parisino 2424 et Veneto 7, quo ff. 244-248 traditur, sed hunc ex illo descriptum esse mihi persuasi cum eum in bibliotheca S. Marci inspexissem. Exstat quoque hoc opusculum in Berolensi 147, quem iamdudum apographum Parisini esse Franciscus Boll confirmavit (*Cat.* VII, p. 36). Itaque recensio mea solo libro Parisino nititur. Sermo vulgaris horum praesagiorum tardam aetatem prodit, et illa ab astrologo quodam Byzantino ex Arabica vel Persica lingua versa esse crediderim, sicut ea quae sequuntur de mansionibus lunae. (Cf. p. 207, 27 Περσικοὶ δοῦλοι). De " Amicitia vel inimicitia media vel tota „ lunae cum planetis nusquam loquuntur veteres astrologi Graeci, sed vide Apomasarem, cod. Rom. 2, f. 61 (*Cat.* V, 1, p. 22).

Scripturam codicis ubique servavi 2 λαχάν, vox persica *lak* = gallice *laque* 3 σουνᾶ habet Ducange in *Glossario* ex hoc ipso codice, sed verbum non interpretatur 4 διειλήσας cod., corr. Delatte. τζυκάλιον γανωτόν = *olla fictilis vitreata* 8 εἰστία pro ἑστία 9 στῦψις = *un mordant* 10 κομίδη, i. e. κομμίδι(ον) a κόμμι = *gomme arabique*

[1] De confectione atramenti et compositionibus in codicibus traditis cf. Gardthausen, *Griech. Paläographie*, I², p. 202 ss.

F. 214. α'. Θεωρία τῆς Σελήνης· ἥμισυ φιλία καὶ τελεία ἀγάπη μετὰ τοῦ Κρόνου.

Ὅταν ἔνι ἡ Σελήνη εἰς τὸν Κριόν, καλὸν εἰς τὸ ζητῆσαί τι ἀπὸ βασιλέων καὶ μεγιστάνων.

Τῆς Σελήνης οὔσης εἰς τὸν Ταῦρον, καλὸν ποιῆσαι χαράν, κτίσαι, θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης εἰς τοὺς Διδύμους, καλὸν ποιῆσαι ζήτησιν ἀπὸ μεγιστάνων, ἐνόχων, γραμματικῶν, κομμερκιαρίων.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ἀγοράσαι οἰκήματα, τόπους, ἀπὸ πρεσβυτέρων ποιῆσαι ζήτησιν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν θεμέλια θεῖναι, ποιῆσαι ζήτησιν ἀπὸ μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ποιῆσαι ὠνὴν ἀλόγων, σπείρειν σπέρματα.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν ποιῆσαι ζήτησιν ἀπὸ γερόντων καὶ κυνηγῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν ποιῆσαι ὑδάτων ἀγωγοὺς καὶ ὑπονόμους· ταξείδιον δὲ ποιῆσαι οὐ δεῖ.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ποιῆσαι ὠνὴν ἀλόγων, μουλαρίων, θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρῳ, καλὸν ποιῆσαι ζήτησιν γυναικὸς καὶ ἄλλου τινός, ἀγοράσαι ἄλογα.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιῆσαι ὠνὴν ἀλόγων, θεμέλια θεῖναι, ποιῆσαι ζήτησιν ἀπὸ τῶν ἐνόχων.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν κτίσαι, ὑδάτων ἀγωγοὺς κατασκευάσαι.

β'. Θεωρία τῆς Σελήνης· εἰς τὸν Δία τελεία ἀγάπη καὶ μέση.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν ποιῆσαι δουλείας τινὰς διὰ ψευδολογιῶν, ζητῆσαί τι ἀπὸ βασιλέων.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν θεμέλιον θεῖναι, πραγματείαν ποιήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ποιῆσαι ταξείδιον καὶ ἐργάσασθαι τὸ βουλητέον.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ἰδεῖν δουκάδας ἢ ποιῆσαι ζήτησιν <ἀπὸ> τῆς ὁμοίας τούτων ἐνοχῆς, θεμέλια θεῖναι.

1 ἡμισυφιλία hic et in sequentibus titulis non est legendum; dicitur ἥμισυ indeclinabile pro ἡμίσεια [Delatte] 3 ss. Singulis paragraphis adscripta sunt in margine nomina planetarum. 8 Cave εὐνούχων conicias; cf. Ducange, *Gloss.* s. v. ἔνοχος et infra v. 24, p. 203, 14. 25 ἀγωγὸς cod.; corr.; cf. v. 17. 36 ἀπὸ suppl.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ποιῆσαι ἕνωσιν συντροφίας καὶ ζήτησιν ἀπὸ ἀρχιερέων καὶ μοναχῶν.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν σπείρειν σπέρματα, διαλεχθῆναι λογίοις καὶ σοφοῖς.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν ποιῆσαι ζήτησιν ἀπὸ σωματοφυλάκων καὶ τζαουσίων.

Τῆς Σελήνης οὔσης <ἐν> Σκορπίῳ, καλὸν ποιήσασθαι ὠνὴν ἵππων. καλὸν φιλίαν μετὰ βασιλέων ἐργάσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ποιῆσαι πραγματείαν καὶ συντροφίαν, εἰς μαθητὴν ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρῳ, καλὸν ποιῆσαι ὠνὴν ἀλόγων, σπείρειν σπέρματα, κτίσαι οἰκήματα.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιῆσαι πραγματείαν ἀλόγων καὶ ζήτησιν ἀπὸ γερόντων.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ὑδάτων κατασκευάσαι ἀγωγούς, ἀγοράσαι λίθους καὶ μαργάρους.

γ'. Θεωρία τῆς Σελήνης· ἥμισυ φιλία καὶ τελεία μετὰ τοῦ Ἄρεος.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν κυνήγ(ια) ποιῆσαι, ζήτησιν ποιῆσαι ἀπὸ τῶν τζαουσίων.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ποιῆσαι ἑτοιμασίαν φοσσάτου, καὶ κίνησιν ποιῆσαι, καθωπλισθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν παιδεῦσαί τινα, διὰ ξύλων φονεῦσαι, ἅρματα κατασκευάσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν κυνηγίαν ποιῆσαι εἰς ὕδωρ εἰτ' ἰχθύων ἄγραν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν εἰς πόλεμον ἀπελθεῖν, κυνηγῆσαι, φλεβοτομηθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ἑτοιμασίαν ποιεῖν φοσσάτων καὶ ἁρμάτων, εἰς πόλεμον ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ καλὸν κυνήγια ποιῆσαι, ὀρθῶσαι φοσσάτον, πέξαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν κυνηγῆσαι ἐν ὕδατι, μαχήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ποιῆσαι τόξα καὶ διὰ πυρὸς ἐργασίαν.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ὀρύξαι τὴν γῆν, θεμέλ(ια) τιθέναι παλατίων.

6 Vox turca *tshaoush*; cf. Ducange, s. v. et infra v. 20. 7 ἐν suppl. 21 Cf. 29 26 ἤτ' cod., cf. p. 203, 1. 32 πέξαι (a πείκω) cf. 212, 28; 216, 4.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιῆσαι ἄγραν ἰχθύων, τείχη ἀνεγείρειν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν κυνηγῆσαι, ἐξωνήσασθαι ἅρματα.

δ'. Θεωρία τῆς Σελήνης· ἥμισυ φιλία καὶ τελεία μετὰ τοῦ Ἡλίου.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν ἀπελθεῖν εἰς βασιλεῖς καὶ ποιῆσαι ζήτησιν ἀπὸ τῶν μεσαζόντων καὶ ποιῆσαι καὶ ἄλλο, εἴ τι βούληταί τις.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ἰδεῖν βασιλεῖς, ἐργασίαν βαρύτιμον ζῴου ποιῆσαι, χρυσοχόοις ἐπιτάσσειν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ βασιλέων, δουλείαν ἣν βούλεται ἐγχειρῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ποιῆσαι ζήτησιν πράγματος ἀπὸ μεγιστάνων καὶ ἐνόχων.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν γενέσθαι εἰς κεφαλήν, εἰς μεγιστᾶνας ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ἀπελθεῖν εἰς πραγματείαν, λόγον μεσάζουσιν εἰπεῖν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν καβαλλικεῦσαι, χαρῆναι, ποτὸν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ ἐνόχων, σαρκ(ὸς) τεμεῖν τραύματα.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ποιήσασθαι ὠνὴν ἵππων εὐγενῶν, λόγους εἰπεῖν μεγιστᾶσιν, φλεβοτομηθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, <καλὸν> ἐργάσασθαι [εἰ] τὴν γῆν, κτίσαι οἰκήματα, ἄλογον ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν εἰπεῖν λόγους πρὸς τοὺς γραμματικοὺς καὶ σοφούς, θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ποιήσασθαι ὠνὴν λίθων καὶ μαργάρων, συντροφεῦσαι, λόγους μεγιστᾶσιν εἰπεῖν.

ε'. Θεωρία τῆς Σελήνης· ἥμισυ φιλία καὶ τελεία μετὰ τῆς Ἀφροδίτης.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν ἐξωνήσασθαι ἄλογα, ζήτησιν ποιήσασθαι ἀπὸ γυναικῶν.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ποιῆσαι πραγματείαν καὶ μύρων κατασκευὴν καὶ ἐργασίαν ἄλλην.

8 Leg. ὅ τι βούλεται? At cf. 204, 13 10 ἐπιτάσειν cod., cf. p. 204, 6 14 ἐνοχῆς cod., corr. cf. p. 201, 8 et infra v. 22 19 καβαλικεῦσαι, cod. 23-24 Cf. p. 204, 37; 207, 26. 25 καλὸν suppl. εἰ delevi.; cf. p. 205, 2; 205, 11 26 οἰκημάτων cod., corr., cf. p. 204, 18

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ποιῆσαι πραγματείαν, εἰς πόλιν ἀπελθεῖν, γυναῖκα ζητῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ταξείδι(ον) ποιῆσαι, φάρμακον πιεῖν, ζητῆσαι γυναῖκα.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ζήτησιν ποιῆσαι ἀπὸ δεσποινῶν, χαρῆναι, χρυσοχόοις ἐπιτάξαι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ἐξωνήσασθαι οἰκήματα, ζητῆσαι γυναῖκα, συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν ζητῆσαι γυναῖκα, ἀπὸ γυναικῶν ζητῆσαί τι, ἀγοράσαι δοῦλον.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον, κακὸν δὲ ταξειδεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν δακτύλια ποιῆσαι καὶ ἄλλο εἴ τι βούλεται, συντροφίαν, καὶ ἄλογα ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ποιῆσαι χαράν, πότους, σπείρειν σπέρματα.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιῆσαι χαράν, σπείρειν, κτίσαι οἰκήματα.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν εἰπεῖν λόγους πρὸς ἱερεῖς, εἰς πλοῖον εἰσελθεῖν, χαρὰν ποιῆσαι.

ς'. Θεωρία τῆς Σελήνης· ἥμισυ φιλία μετὰ τοῦ Ἑρμοῦ.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν διαλεχθῆναι μετά τινων, ψηφίσαι.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ζητῆσαι γυναῖκα καὶ οἵαν βούλεταί τις δουλείαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν εἰς μάθησιν ἐγχειρίσαι, ζωγραφῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ποιήσασθαι πραγματείαν, εἰς πλοῖον εἰσελθεῖν, ἀπὸ τόπου εἰς τόπον ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ὠνὴν ποιήσασθαι λίθων καὶ μαργάρων, λόγους εἰπεῖν πρὸς τοὺς γραμματικούς.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν μαθεῖν τι, κυνήγια ποιῆσαι καὶ ὁμόνοιαν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν γυναῖκα ζητῆσαι, πιεῖν φάρμακον.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον, κυνηγῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ἐξωνήσασθαι ἵππους ἀγαθούς, συντροφίαν ποιῆσαι, πωλῆσαι καὶ ἀγοράσαι.

4 ποιεῖν cod., corr., cf. v. 36; p. 208, 11. 11 ποιεῖν cod., cf. v. 4. 14 Lacuna aute συντροφίαν? cf. 202, 1, 10. 27 ζωγραφίσαι cod. 34 ποιεῖν cod., cf. v. 4

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ἐξωνήσασθαι λειμῶνας καὶ τόπους, γῆν ἐργάσασθαι, ἀγοράσαι ἄλογα.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ τῶν σοφῶν καὶ μαθεῖν τι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ μεγιστάνων καὶ συντροφίαν καὶ ταξείδ(ιον) ποιῆσαι.

ζ'. Θεωρία τῆς Σελήνης. ἥμισυ ἔχθρα μετὰ τοῦ Κρόνου.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, οὐ δεῖ ποιῆσαι ταξείδ(ιον) ἢ ζητῆσαι γυναῖκα· ἡμέρα κακή.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ἐργάσασθαι τὴν γῆν. οὐ δεῖ ποιῆσαι ταξείδιον.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, κακὴ ἡμέρα ἐκ πάντων.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν οἰκοδομῆσαι πλοῖον· οὐ δεῖ ποιῆσαι ταξείδι(ον).

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν θεμέλια θεῖναι· οὐ δεῖ δὲ ἕτερόν τι ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ποιῆσαι ταξείδι(ον) καὶ συντροφίαν, γράμματα ἀποστεῖλαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, οὐ δεῖ ζητεῖν γυναῖκα, μηδὲ εὐώδη θυμιᾶν.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, οὐ δεῖ τιθέναι που ἐν πληγαῖς φάρμακα· εἰ δὲ ἐν τῇ Ἀφροδίτῃ, καλόν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, οὐ δεῖ ποιῆσαί τινα ἐργασίαν, ἀλλ' ἡσυχάζειν.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, οὐ δεῖ ποιῆσαί τινα δουλείαν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, οὐ δεῖ ποιῆσαί τινα ἐργασίαν, εἰ <μὴ> μόνον σπείρειν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσιν, οὐ δεῖ εἰς πλοῖον εἰσελθεῖν, οὔτε ταξιδεῦσαι, οὔτε ἄλλο τι ποιῆσαι.

η'. Θεωρία τῆς Σελήνης· ἥμισυ ἔχθρα μετὰ τοῦ Διός.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν οἰκοδομεῖν, κρύπτειν τι.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν βουλὴν ποιεῖν, πόλεως θεμέλια θεῖναι, βοῒδ(ιον) ἀγοράσαι.

21 Cf. p. 208, 9 23 Leg. σὺν τῇ Ἀφροδίτῃ? 28 εἰ μὴ μόνον scripsi; cf. 211, 21: ἢ μόν(ον) cod.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν πραγματείαν ποιῆσαι, μαθεῖν, δουλείαν ποιῆσαι εἰς μεσάζοντας.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ταξείδι(ον) ποιῆσαι, πεζοδρόμους ἀποστεῖλαι καὶ ζητῆσαί τι ὅθεν βούλεται.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν μαργάρους, λίθους, ἅλογα ἐξωνήσασθαι καὶ ζητῆσαί τι ἀπὸ μεγάλων.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν συντροφίαν ποιῆσαι, ἀπελθεῖν εἰς πραγματείαν, θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν πιεῖν φάρμακον, ζήτησιν ποιήσασθαι ἀπὸ γυναικῶν.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν ποιεῖν ζήτησιν ἀπὸ τῶν ἐνόχων καὶ μεγάλων καὶ φάρμακον πιεῖν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν βουλὴν ποιῆσαι διὰ δουλείαν, λίθους μαργάρους καὶ ἵππους ἀγοράσαι, φλεβοτομηθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ἅλογα μούλους ἐξωνήσασθαι, θεμέλια θεῖναι οἰκημάτων.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ἀνεγείρειν οἰκοδομάς, δούλους ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν τὰ ἀπὸ ὑδάτων ἐξωνήσασθαι, οἷον μαργάρους καὶ τὰ ὅμοια.

θ'. Θεωρία τῆς Σελήνης· ἥμισυ ἔχθρα μετὰ τοῦ Ἄρεως.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν εἰς πόλεμον ἀπελθεῖν, βουλεύεσθαι πράξεις.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, οὐ δεῖ οὔτε ταξείδ(ιον) οὔτε γυναῖκα ζητῆσαι οὔτε μεταναστεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, πᾶσαι αἱ πράξεις κακαί.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ποιῆσαι ἄγραν ἐν ὕδατι καὶ πλέον <οὐδὲν>.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, κακὴ ἡμέρα εἰς τὸ ἰδεῖν βασιλεῖς ἢ ποιήσασθαι ζήτησιν.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, κακὸν ἰδεῖν βασιλεῖς ἢ συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν ἡσυχάζειν μόνον καὶ τὸ τυχὸν μὴ ἐργάσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον, καταμιγὴν ποιῆσαι ἀρωμάτων.

11 ποιεῖν cod., cf. v. 12, 36, p. 208, 11. 15 μούλως cod., cf. p. 201, 19; 208, 13. 19 ἐξωνῆσθαι cod., cf. v. 15, 19 etc. 28 Post πλέον signum dubium in cod., οὐδέν suppl. Delatte, collata p. 208, 34.

Τῆς Σελένης οὔσης ἐν Τοξότῃ, μέσον, οὔτε καλὸν οὔτε κακόν, διὰ πυρὸς ποιῆσαι ἐργασίαν, φλεβοτομηθῆναι.

Τῆς Σελήνης οὔσης <ἐν> Αἰγοκέρωτι, καλὸν εἰς τὸ μὴ ποιῆσαί τινα ἐργασίαν καὶ πρᾶξιν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, οὐ δεῖ ὅλως ἐγχειρίσαι εἴς τινα ἐργασίαν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, κακὴ εἰς πάντα καὶ οὐ δεῖ ἐγχειρεῖν τι.

ι'. Θεωρία τῆς Σελήνης· ἥμισυ ἔχθρα μετὰ τοῦ Ἡλίου.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, οὐ δεῖ πλησίον γενέσθαι βασιλέων ἢ πολεμ(ίων).

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ποιῆσαι συντροφίαν, ἀλλήλοις διαλεχθῆναι τοῖς σοφοῖς καὶ ἄλλοις.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, οὐ δεῖ ἀπιέναι εἰς μεγιστάνους, οὐ φλεβοτομηθῆναι, οὐ διαλεχθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν θεῖναι πόλεως θεμέλια, συμβουλὰς ποιεῖν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν θεμέλια θεῖναι οἰκημάτων, πόλεως ἐγείρειν οἰκοδομάς.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν καθᾶραι τραύματα καὶ ἄλλον ἀπὸ σώματος περίπτωμα.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, ἡ ἡμέρα αὕτη εἰς πάντα κακή.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, οὐ δεῖ ἀπιέναι εἰς πόλεμον, οὐδὲ <ποιῆσαι> ἀγωγοὺς ὑδάτων.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, οὐκ ἔστι κακὸν ἐξωνήσασθαι ἵππους εὐγενεῖς καὶ Περσικοὺς δούλους.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, οὐ δεῖ ἐγχειρίσαι εἰς τινα ἐργασίαν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, ποιῆσαι οἰκοδομὰς ἢ ἀνανεῶσαί τι καλόν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ὠνὴν ποιήσασθαι τῶν ἐξ ὕδατος.

ια'. Θεωρία τῆς Σελήνης· ἥμισυ ἔχθρα μετὰ τῆς Ἀφροδίτης.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν πότον ποιῆσαι καὶ εὐωχίαν.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ἐξωνήσασθαι τόπους, γυναικὸς μέσης ζήτησιν ποιεῖσθαι.

3 ἐν suppl. μὴ delendum ? 12 πολέμ(ου) ut vid. cod. 16 διαλεχθεῖναι cod. 25 ποιῆσαι suppl., cf. p. 201, 17 32-33 Cf. 206, 19

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν εἰς τοίχους ζωγραφίας ποιῆσαι, ζητῆσαι γυναῖκα.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ποιήσασθαι ταξείδ(ιον) καὶ ἀγωγοὺς ὑδάτων καὶ σπείρειν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ὅπλα κατασκευάσαι, ἐξωνήσασθαι ἵππους καὶ ἡμιόνους.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν κυνήγι(α) ποιῆσαι, ζητῆσαι γυναῖκα, νέα φορέσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν θυμιάματα εὐώδη κατασκευάσαι, χρυσοχοεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον καὶ ἀγωγοὺς ὑδάτων ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ἵππους καὶ ἡμιόνους ἐξωνήσασθαι, ἕνωσιν καὶ συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ἐξωνήσασθαι τετράποδα, εὔξασθαι, συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιήσασθαι πράξεις μυστικάς, δούλους ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ποιῆσαι ἀγωγοὺς ὑδάτων, πιεῖν φάρμακον καὶ συντροφίαν <ποιῆσαι>.

ιβ'. Θεωρία τῆς Σελήνης· ἥμισυ ἔχθρα μετὰ τοῦ Ἑρμοῦ.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν οὐκ ἔστι πολεμῆσαι, φλεβοτομῆσαι καλὸν.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ζητῆσαι γυναῖκα καὶ ζήτησιν ποιῆσαι ἀπὸ μεγάλων γραμματικῶν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν μαθεῖν τι, ζήτησιν ποιῆσαι ἀπὸ τῶν γραμματικῶν καὶ πρεσβυτέρων.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ποιῆσαι τὰς βουλητέας πράξεις.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ποιῆσαι ψήφους τοὺς γραμματικούς.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ποιήσασθαι διάλεξιν μετὰ τῶν ἱερωμένων καὶ πλέον οὐδέν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν ποιεῖν εὐωχίαν καὶ πότους.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον, μὴ ποιῆσαι δὲ βάδισμα.

8 Cf. 212, 12. 11 ποιεῖν cod., sed. cf. v. 20; p. 206, 36; 209, 9. 20 ποιῆσαι suppl., cf. v. 14, 16 21 Numerus ια' in margine adscriptus, perperam; cf. p. 207, 34 ἔχθραν cod. 37 μάδισμα cod.?

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, οὐ δεῖ εἰς ταύτας τὰς ἡμέρας ἐργασίαν τινὰ ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν δούλους ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, πραγματείας ποιῆσαι καὶ πόλεμον κακόν.

ιγ'. Θεωρία τῆς Σελήνης εἰς τελείαν ἔχθραν μετὰ τοῦ Κρόνου κατὰ διάμετρον.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, κακὸν εἰς πάντα· πιεῖν φάρμακον, δούλους ἀγοράσαι καλόν.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, κακὴ ἡμέρα· γυναικὸς οὐ συμφέρει ποιήσασθαι ζήτησιν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, εἰς πάντα κακόν.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, * ἀπὸ ταξειδ(ίου) καὶ γυναικὸς ζήτησιν μακράν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, ἐν ταύτῃ τῇ ἡμέρᾳ καλόν τι οὐκ ἔστι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, μακρὰν δεῖ εἶναι ἀπὸ διαλέξεων τῶν μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, κακὸν ζητῆσαι γυναῖκα καὶ ἑνῶσαι θυμιάματα.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, οὐ δεῖ γενέσθαι τινὰ δουλείαν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, κακὸν φλεβοτομηθῆναι ἢ † συβιάσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, κακὸν ποιήσασθαι πραγματείαν καὶ εἰς ταξείδι(ον) ἀπελθεῖν· κτίσαι οἰκήματα καλόν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, <κακὸν> ποιῆσαι πραγματείαν, εἰς ταξείδ(ιον) ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσιν, εἰς πάντα κακόν.

ιδ'. Θεωρία τῆς Σελήνης κατὰ διάμετρον τοῦ Διός, ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν ποιῆσαι ζήτησιν ἀπὸ τῶν μεγιστάνων, ταξειδεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν θεμέλια θεῖναι, ζήτησιν ποιῆσαι ἀπὸ τῶν μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ποιήσασθαι πραγματείαν, ἐξωνήσασθαι ἵππους καλούς.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ποιήσασθαι ταξείδι(ον), ἀγοράσαι δούλους.

7 ιβ' errore cod. 14 Verbum deest; cf. v. 17, v. 30 22 συβιάσαι non capio. Leg. ἡσυχάσαι? Cf. p. 205, 25; 206, 34 25 κακὸν suppl., cf. v. 21 28 ιγ' errore, cod. 35 Cf. p. 203, 23; 207, 26

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ποιήσασθαι ζήτησιν ἀρχιερωσύνης, νέα οἰκοδομῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ποιῆσαι πραγματείαν, συντροφίαν καὶ ταξείδιον.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν θυμιάματα καὶ ἀρώματα ἑνῶσαι, ἀγοράσαι πρόβατα.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον καὶ δούλους καὶ ὅπλα ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν φλεβοτομηθῆναι, συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι καλὸν θεῖναι θεμέλια, πρόβατα ἀγοράσαι· ζητῆσαι γυναῖκα κακόν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν θεμέλια θεῖναι, διαλεχθῆναι τοῖς γέρουσι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν εἰς συντροφίαν, εἰς πράγματα καὶ εἰς ταξείδιον.

ιε'. Θεωρία τῆς Σελήνης κατὰ διάμετρον τοῦ Ἄρεως, ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν κυνηγῆσαι, ὅπλα οἰκονομῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ἑτοιμάσαι φοσσάτον, θεῖναι θεμέλια.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν βουλευθῆναι καὶ μετ' ἀπάτης τοῖς ἐχθροῖς προσβαλεῖν.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλόν οὐκ ἔστι καβαλλικεῦσαι ἢ ταξειδεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν θεῖναι θεμέλια, κυνηγῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ὅπλα κατασκευάσαι, θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν κυνηγῆσαι, ἑτοιμάσαι φοσσάτον.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν εἰς ἄγραν καὶ ἵππων ὠνήν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν διὰ πυρὸς δουλείαν ποιῆσαι, κυνηγῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ὅπλα ἀγοράσαι καὶ ὀρθῶσαι.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν τοῦ κάστρου τὸ θεμέλιον θεῖναι, κυνηγῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ἀγρεῦσαι, ὅπλα κατασκευάσαι καὶ ἀγωγοὺς ὑδάτων.

2 νέα Leg. νεὼς ? At cf. p. 208, 8; 212, 12; 213, 12. 3 πραγματι' cod. 7 ποιεῖν cod.; cf. p. 208, 20; 209, 9 24 καβαλικεῦσαι cod.; cf. p. 212, 6

ις'. Θεωρία τῆς Σελήνης κατὰ διάμετρον τοῦ Ἡλίου, ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, κακὸν εἰς πόλεμον καὶ εἰς θεμέλια καὶ εἰς πάντα.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, κακὸν ποιῆσαι ταξείδ(ιον), ζητῆσαι γυναῖκα, καὶ εἰς πάντα κακόν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, κακὸν διαλεχθῆναι βασιλεῖς.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, κακὸν εἰς τὸ ποιῆσαί τινα πρᾶξιν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, κακὸν εἰς τὸ ποιῆσαι συντροφίαν ἢ ζητῆσαι γυναῖκα.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, κακὸν ποιῆσαι πραγματείαν, ζητῆσαι γυναῖκα καὶ συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, κακὸν εἰς τὸ ταξειδεῦσαι, ζητῆσαι γυναῖκα, συντροφίαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, κακὸν εἰς τὸ ποιῆσαι ταξείδι(ον) καὶ πρᾶξιν ἄλλην.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, κακὸν ἐπαρεῖν γυναῖκα καὶ ἄλλην δουλείαν ποιῆσαι.

<Τῆς Σελήνης οὔ>σης ἐν Αἰγοκέρωτι, οὐκ ὀφείλει γενέσθαι τινὰ πρᾶξιν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν οὐκ ἔστι εἰ μὴ μόνον εἰς τὸ σπεῖραι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, κακὸν γυναῖκα ζητῆσαι ἢ εἰς πλοῖον εἰσελθεῖν.

ιζ'. Θεωρία τῆς Σελήνης κατὰ διάμετρον τῆς Ἀφροδίτης. ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν ἐξωνήσασθαι πρόβατα καὶ δούλους.

Τῆς Σελήνης οὔσης <ἐν> Ταύρῳ, καλὸν ταξείδι(ον) ποιῆσαι, γυναῖκα ζητῆσαι, μεταναστεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ἀγοράσαι, πωλῆσαι, εὐωχίαν καὶ πραγματείαν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ταξείδι(ον) ποιῆσαι, δούλους ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν λουθῆναι, δούλους ἀγοράσαι.

7 βασιλεῦσι corrigere nolui, cf. tamen p. 212, 23 17 Cf. p. 213, 8 19 Summo folio 218 lacero Τῆς σελήνης οὔσ deest 29 ἐν suppl.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν συντροφίαν καὶ ταξείδ(ιον) ποιῆσαι, γυναῖκα ζητῆσαι, ὄργανα μαθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν πιεῖν φάρμακον, εὐωχηθῆναι, πότον ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν καβαλλικεῦσαι, εἰς πραγματείαν ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ἐξωνήσασθαι τετράποδα καὶ τόπον.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιῆσαι οἰκοδομάς, θεμέλια θεῖναι, δούλους ἀγοράσαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν εἰς πλοῖον εἰσελθεῖν, νέα φορέσαι.

ιη'. Θεωρία τῆς Σελήνης κατὰ διάμετρον τοῦ Ἑρμοῦ· ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, κακὸν εἰς τὸ πολεμῆσαι, φῆσαι καλόν.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ζητῆσαι γυναῖκα, ψήφους ποιῆσαι μετὰ τῶν γραμματικῶν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν εἰπεῖν καὶ ἀκοῦσαι καὶ μαθεῖν τέχνας λογικάς.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, κακὸν εἰς μαθητεῖον ἀπελθεῖν, διαλεχθῆναι βασιλεῦσι.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν γράμματα μαθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ζητῆσαι παῖδας, νέα φορέσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν τόπον ποιῆσαι, εὐωχηθῆναι καὶ πέξαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν διαλεχθῆναι ἢ εἰς πόλεμον ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ποιῆσαι πραγματείαν, συντροφίαν καὶ ταξειδεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, κακὸν εἰς μαθητεῖον ἀπελθεῖν ἢ μαθεῖν τι.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ποιήσασθαι ἀρχὴν μαθησίας καὶ διαλεχθῆναι μεγιστᾶσιν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν πραγματείαν ποιῆσαι καὶ ταξείδιον.

6 καβαλικεῦσαι cod.; cf. p. 210, 24 12 Cf. v. 25, p. 208, 8 16 φῆσαι vix sanum 19 Cf. p. 208, 31 23 Cf. p. 211, 7 27 Cf. v. 9; p. 213, 21 28 Cf. p. 202, 32 31 πραγματί(αν) cod.

ιθ'. Τῆς Σελήνης καὶ τοῦ Κρόνου συνέλευσις εἰς ἓν οἴκημα ἐν τοῖς ιβ' ζῳδίοις· ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, οὐ δεῖ ἐγχειρίσαι πρᾶξίν τινα.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν θεῖναι θεμέλια καὶ ἐργάσασθαι τὴν γῆν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, κακὸν μαθεῖν τι, ἢ <ποιῆσαι> πραγματείαν ἢ ταξείδιον.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, κακὸν γυναῖκα ἐπαρεῖν, ταξειδεῦσαι, ἀρώματα ἐνῶσαι.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν θεμέλια θεῖναι οἰκήματος καὶ πόλεως.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν νέα σπεῖραι, θεμέλια οἰκήματος θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν θεῖναι θεμέλια εἰς πόλεις καὶ παλάτια.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, κακὸν πιεῖν φάρμακον, ἀρώματα ἐνῶσαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν πόλεως θεμέλια θεῖναι καὶ ἐκκλησίας καὶ παλατίου.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν νεάσαι, σπείρειν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ἑτοιμάσαι τόπον οἰκήματος, κτίσαι παλάτια.

Τῆς Ζελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν θεῖναι ἐκκλησίας θεμέλια καὶ ἀνεγεῖραι οἰκοδομάς.

κ'. Τῆς Σελήνης καὶ τοῦ Διὸς συνέλευσις εἰς ἓν οἴκημα ἐν τοῖς ιβ' ζῳδίοις· ἔχθρα.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν φλεβοτομηθῆναι, ζήτησιν ποιήσασθαι ἀπὸ μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν ποιῆσαι πραγματείαν, ζητῆσαί τι ἀπὸ μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ποιῆσαι πραγματείαν, ἀπελθεῖν εἰς μεγιστᾶνας.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ταξείδι(ον) ποιῆσαι καὶ μεγ(ά)λ(ου) τινὸς πρᾶξιν ἐγχειρίσαι.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ποιήσασθαι ζήτησιν ἀπὸ βασιλέως καὶ μεγιστάνων, θεμέλια θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ταξείδ(ιον) ποιῆσαι καὶ πραγματείαν, ἐργάζεσθαι τὴν γῆν.

6 ποιῆσαι suppl., cf. p. 212, 37 16 ἀρώματι cod., cf. v. 9 20 νεάσαι, cf. p. 216, 25

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν θεῖναι θεμέλια οἰκήματος, ζητῆσαί τι ἀπὸ μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν μεγάλων δουλειῶν καταρχὴν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ μεγιστάνων καὶ γερόντων.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ἐξωνήσασθαι δουλείας, θεμέλια οἰκήματος θεῖναι.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ἐξωνήσασθαι λίθους καὶ μαργάρους.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν μεταβῆναι ἐκ τόπου εἰς τόπον.

κα'. Τῆς Σελήνης καὶ τοῦ Ἄρεως συνέλευσις εἰς ἓν οἴκημα ἐν τοῖς ιβ' ζῳδίοις.

<Τῆς Σελήνης οὔσης> ἐν Κριῷ, καλὸν ζήτησιν ποιῆσαι ἀπὸ μεγιστάνων, ὅπλα ἑτοιμάσαι.

<Τ>ῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν εἰς τὸ μὴ ζητῆσαι γυναῖκα. καὶ εἰς ταξείδιον ἀπελθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ὅπλα καλὰ κατασκευάσαι, ζήτησιν ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, ἡμέρα καλὴ εἰς πᾶσαν ἐργασίαν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, κακὸν ποιῆσαι ἐργασίαν διὰ πυρὸς καὶ ταξειδεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, κακὸν συντροφίαν ποιῆσαι καὶ γυναῖκα ζητῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, οὐ δεῖ ἐγχειρίσαι εἴς τινα πρᾶξιν.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, κακὸν φάρμακον πιεῖν ἢ ποιῆσαι ταξείδιον.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ἐξωνήσασθαι ἵππους ἀγαθούς, ὅπλα κατασκευάσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν πρᾶξίν τινα ἐργάζεσθαι φανεράν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, κακόν, οὐ δεῖ εἴς τινα πρᾶξιν εἰσέρχεσθαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ τῶν μεγιστάνων καὶ τῶν σωματοφυλάκων.

7 Leg. δούλους? 8 θεμέλια scripsi, cf. v. 1; p. 213, 36; 216. 28: θέματος cod. 15 Τῆς Σελήνης οὔσης deest summo folio 219 lacero, sicut et T v. 17 |26 εἰς delet Delatte; cf. p. 213, 34, at cf. p. 215, 13 27 πιεῖν ἢ superscriptum manu prima.

κβ'. Τῆς Σελήνης καὶ τοῦ Ἡλίου συνέλευσις εἰς ἓν οἴκημα ἐν τοῖς ιβ' ζῳδίοις.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, οὐ δεῖ ποιῆσαι δουλείαν τινά.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, κακὸν γυναῖκα ἐπαρεῖν, ταξείδιον ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, οὐκ ἔστι καλὸν ποιῆσαί τινα δουλείαν, κρύψαι δέ τι ἐν γῇ καλόν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, κακὸν φονεῦσαι, εἰς πόλεμον ἀπελθεῖν καλόν.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν ἐξωνήσασθαι βιβλία.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν κρύψαι πρᾶγμα, ποιῆσαι μυστικὰς πράξεις.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, οὐ δεῖ ἐγχειρίσαι εἰς πρᾶξίν τινα.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν κρύψαι τι, ὅπλα ἑτοιμάσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, δουλεία τις οὐ γίνεται, συμβουλεύσασθαι μετὰ γερόντων καλόν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν κρύπτειν ἐν γωνίαις πρᾶγμα.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν συμβουλεύσασθαι μετὰ μεγιστάνων καὶ τῶν γραμματικῶν.

κγ'. Τῆς Σελήνης καὶ τῆς Ἀφροδίτης συνέλευσις εἰς ἓν οἴκημα ἐν τοῖς ιβ' ζῳδίοις.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ γυναικὸς καὶ ἵππους καὶ ἡμιόνους ἐξωνήσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν γυναῖκα ζητῆσαι, ταξείδ(ιον) ποιῆσαι, δουλείαν κατορθῶσαί τινα.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ποιῆσαι πραγματείαν, ἐπαρεῖν γυναῖκα, ταξείδιον ποιῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ἀπὸ τόπου εἰς τόπον ἀπελθεῖν, πραγματεύσασθαι, γυναῖκα ἐπαρεῖν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν χρυσοχοεῦσαι, ζήτησιν ποιήσασθαι ἐκ βασιλέων.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν νέα κόψαι καὶ φορέσαι.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν γυναῖκα ζητῆσαι, καλὸν ἀπὸ γυναικῶν ζητῆσαί τι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν πιεῖν φάρμακον, ταξειδεῦσαι κακόν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ποιῆσαι συντροφίαν, ἵππους εὐγενεῖς ἐξωνήσασθαι.

13 εἰς delet Delatte; cf. ad p. 214, 26 17 γονίαις cod. 33 Cf. p. 208, 8; 212, 12; 217, 4

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ποιῆσαι εὐωχίαν, ἐργάσασθαι τὴν γῆν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν πέξαι, σπεῖραι, κτίσαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ζήτησιν ποιῆσαι ἀπὸ μεγιστάνων, ταξειδεῦσαι, συντροφεῦσαι.

κδ'. Τῆς Σελήνης καὶ τοῦ Ἑρμοῦ συνέλευσις εἰς ἓν οἴκημα ἐν τοῖς ιβ' ζῳδίοις.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν διαλεχθῆναι, ψήφους ποιῆσαι μετὰ μεγιστάνων.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν γενέσθαι τὴν πρᾶξιν τῶν γραμματικῶν, ζωγραφῆσαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν ἐξωνήσασθαί τι, γυναῖκα λαβεῖν, βίβλους ἀγοράσαι.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ, καλὸν ταξείδιον ποιῆσαι εἰς πραγματεί(αν), ζήτησιν ἀπὸ γραμματικῶν.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν μαθεῖν τι, κυνηγῆσαι, συντροφεῦσαι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν σπεῖραι, πιεῖν φάρμακον, γυναῖκα λαβεῖν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν ποιεῖν κυνήγια καὶ φάρμακον πιεῖν, διαλεχθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν συντροφεῦσαι, πραγματεύσασθαι.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ἐξωνήσασθαι, παραδείσους νεάσαι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν ζήτησιν ποιῆσαι ἀπὸ γραμματικῶν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν θεμέλια θεῖναι, οἰκήματα κτίσαι.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν ζήτησιν ποιήσασθαι ἀπὸ μεγιστάνων, συντροφεῦσαι, ταξείδιον ποιήσασθαι.

κε'. Τῆς Σελήνης μόνης εὑρισκομένης ἐν τοῖς ιβ' ζῳδίοις.

Τῆς Σελήνης οὔσης ἐν Κριῷ, καλὸν φλεβοτομηθῆναι, ἀπιέναι εἰς λουτρόν.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ, καλὸν πέξαι.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις, καλὸν βιβλία ἀγοράσαι, διαλεχθῆναι.

14-15 πραγματι' cod. 15 Cf. v. 26 25 νεάσαι, cf. p. 213, 20

<Τῆς Σελήνης ο>ὔσης ἐν Καρκίνῳ, καλὸν πεζοδρόμον ἀποστεῖλαι.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι, καλὸν ἀπιέναι εἰς λουτρόν, φλεβοτομηθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Παρθένῳ, καλὸν νέα κόψαι καὶ φορέσαι, μαθεῖν.

Τῆς Σελήνης οὔσης ἐν Ζυγῷ, καλὸν εὐωχηθῆναι, πότον ποιῆσαι, πέξαι.

Τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, καλὸν ποιεῖν ἐργασίας, φάρμακον εἰς τὸ πιεῖν.

Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, καλὸν ἀπελθεῖν εἰς λουτρόν, φλεβοτομηθῆναι.

Τῆς Σελήνης οὔσης ἐν Αἰγοκέρωτι, καλὸν εἰς τὸ ποιῆσαί τινα δουλείαν.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ, καλὸν ἡσυχίαν ἄγειν.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσι, καλὸν εἰς τὸ ποιῆσαι πράξεις τινάς, χρυσοχοεῦσαι.

Τέλος εἴληφεν ὧδε.

2 Τῆς σελήνης o deest in summo folio 220 lacero 4 Cf. ad 215, 33 8 Post ποιεῖν] εἶν erasum in cod.

De viginti octo mansionibus Lunae.

Praesagia ex viginti octo mansionibus lunae petita in astrologia Graeca nusquam comparent, et tota haec doctrina zodiaci lunaris ex Arabum mathematicis hausta serius ad Byzantinos et Latinos transmissa est. Arabice eam exposuit e. g. Abenragel (*Alboazen Haly filius Abenragel*, VII, cap. 101, p. 342 ss. ed. 1551). Graece exilia praecepta eiusdem farinae atque haec auguria Parisini 2424 iam a Iosepho Heeg edita sunt *Cat.* V, 3, p. 90 ss. ex codice Vaticano 1056 et Parisino 2419. Latine, quid XXVIII mansiones protendant, primum, ut videtur, docuit " liber Alexandri „ ante saec. X ex Syriaco opere versus et in codice Pariisno *lat.* 17868 servatus (cf. *Revue archéologique*, 1916, I, p. 18 ss.). Sed fusius de his disserendum erit in Catalogi nostri tomo IX, cum ex codice Oxoniensi Cromwelliano 12, p. 402, excerptum amplius de εἴκοσι ὀκτὼ μοναὶ τῆς Σελήνης edetur, quod accurate descripsit doctissimus iuvenis G. D. Brooks.

Opusculum hoc, sicut ea quae antecedunt (cf. p. 200), hoc solo codice Parisino 2424 nobis traditum est, nam codex Berolinensis 147 (= German. 21), f. 315, et codex Marcianus 335 (= Venet. 7), f. 284, in quibus quoque exstat, apographa Parisini esse certissimo indicio probari potest. Nomen enim mansionis nonae Arabicum et primum verbum καλόν in utroque omissa sunt, quia in summo folio 221 libri Parisini, iam lacero, avulsa erant.

Ἡ Σελήνη εἰς ἓν ἕκαστον μαζήλιον τῶν κη′ ἤτοι τῶν μονῶν αὐτῆς, τί ἀποτελεῖ.

α Στουρτάην. Καλὸν ἰδεῖν μεγιστᾶνας, φλεβοτομηθῆναι· νέα ῥοῦχα κόψαι καὶ φορέσαι. κακὸν γυναῖκα ἐπαρεῖν.

β′ Μπουτάιν. Καλὸν ἰδεῖν αὐθέντας, μεγιστᾶνας, ταξειδεῦσαι, νέα κόψαι, κακὸν συντροφεῦσαι.

γ′ Σουραία. Καλὸν ἄλογα ἐξωνήσασθαι, κυνηγῆσαι· κακὸν φλεβοτομῆσαι, ταξειδεῦσαι.

δ′ Οὐταρπαράν. Καλὸν θεμέλιον θεῖναι, φυτεῦσαι, γονικὸν ἐξωνήσασθαι. κακὸν ποιῆσαι γάμον, ταξειδεῦσαι.

ε′ Ἄκαα. Καλὸν γονικὸν ἀγοράσαι, γάμον ποιῆσαι, φίλον καλέσαι. κακὸν δοῦναι εἰς παραφυλακήν.

ϛ′ Ἄναα. Καλὸν κυνηγῆσαι, ταξειδεῦσαι, νέα ῥοῦχα κόψαι. κακὸν κατασκευάσαι φάρμακα.

ζ′ Ζαραά. Καλὸν νέα ῥοῦχα κόψαι καὶ φορέσαι, δοῦλον ἀγοράσαι. κακὸν τόπον ἐξωνήσασθαι.

η′ Νασαρά. Καλὸν ταξείδιον ποιῆσαι. νέα ῥοῦχα κόψαι καὶ φορέσαι, φάρμακον πιεῖν. κακὸν δοῦλον ἐξωνήσασθαι.

<θ′> .... <Καλὸν> ἀγωγοὺς ποιῆσαι, διὰ θαλάσσης ποιῆσαι ταξείδιον. κακὸν φλεβοτομηθῆναι.

ι′ Ντζαπλά. Καλὸν λίθους καὶ μαργάρους ἐξωνήσασθαι, κτίσαι οἰκήματα, σπεῖραι. κακὸν ποιῆσαι ταξείδιον.

ια′ Ζαμπρί. Καλὸν θεῖναι θεμέλια πύργων καὶ πολισμάτων καὶ οἰκημάτων. κακὸν ὄνυχας κόψαι καὶ τρίχας κεφαλῆς.

ιβ′ Σαλφά. Καλὸν θεμέλιον θεῖναι, ἐνοικιάσαι, ἐξωνήσασθαι τὰ δι᾽ ἀργύρων. κακὸν ταξειδεῦσαι.

ιγ′ Ναάλ. Καλὸν ταξείδιον ποιῆσαι, γράμματα μαθεῖν. κακὸν γυναῖκα ζητῆσαι.

ιδ′ Σαμειάν. Καλὸν ταξειδεῦσαι, συντροφεῦσαι καὶ πραγματεύσασθαι. κακὸν φάρμακον πιεῖν.

ιε′ Γάφερ. Καλὸν γυναῖκα ἐπαρεῖν, κόψαι νέα, ταξείδιον ποιῆσαι. κακὸν δανεῖσαί τινι.

Πάλιν Κρόνου τρίγωνον Ταύρου ια′· ὀρθὴ σφαῖρα χρ(όνοι) ρκθ′. ἄφε(λε) ἀπὸ τούτων τοὺς τοῦ μεσουρανήματος ργ′· λοιπὸν ὑπεροχῆς χρόνοι κϛ′**· γίνονται ὧραι καιρικαὶ α′ λ′. ἀφίσταται ἄρα τὸ τρίγωνον τοῦ Κρόνου ἀπὸ τοῦ μεσουρανήματος ὧραι καιρικαὶ α′ ἥμισυ. εἶτα πάλιν τὴν ἀπόστασιν τῆς Ἀφροδίτης τὴν ἀπὸ τοῦ μεσουρανήματος, τουτέστιν ὥρ(αν) α′, ἐπὶ τοὺς ὡριαίους χρόνους τοῦ τριγώνου τοῦ Κρόνου τοὺς ιζ′ <λ>θ′· καὶ γίνονται χρ(όνοι) ιζ′ λθ′. ἄφε(λε) ταῦτα ἀπὸ τῆς ὑπεροχῆς τοῦ Κρόνου ἦγουν τῶν κϛ′· λοιπ(ὸν) η′ κα′. ἡ Ἀφροδίτη ἄρα παραλαβοῦσα τοὺς χρ(όνους) ἀπὸ ἐτῶν ια′ μηνῶν ζ′ διακρατήσει χρ(όνους) θ′, τουτέστιν ἕως ἐτῶν κ′ μηνῶν ζ′.

Πάλιν Διὸς διάμετρον Ταύρου ιθ′. ὀρθὴ σφαῖρα ρλϛ′ κη′. ἄφε(λε) τοὺς ργ′ χρ(όνους) τοῦ μεσουρανήματος· λοιπὸν ὑπεροχῆς λγ′ κη′. ὡριαῖοι χρόνοι τοῦ διαμέτρου τοῦ Διὸς ιη′ ζ′· μέρ(ισον) τὴν ὑπεροχὴν ἢ τὰ λγ′ κη′· εἰς τοὺς ὡριαίους <χρόνους> γίνονται ὧραι καιρικαὶ α′ ια′. ἀφίσταται ἄρα τὸ τοῦ Διὸς διάμετρον ἀπὸ τοῦ μεσουρανήματος ὥρας καιρικὰς α′ ια′. πάλιν τὰς τῆς ἀποστάσεως τοῦ μεσουρανήματος τοῦ Κρόνου ὥρας καιρικὰς α′ λ′ ἐπὶ τοὺς ἡμερινοὺς ὡριαίους χρόνους τοῦ <διαμέτρου τοῦ> Διὸς τὰ ιη′ ζ′· γίνονται χρ(όνοι) κζ′ ι′. ταῦτα ἄφελε ἀπὸ τῆς ὑπεροχῆς τοῦ Διὸς τῶν λγ′ κη′. λοιπ(ὸν) ϛ′ ιη′. τὸ τρίγωνον ἄρα τοῦ Κρόνου ἀρξάμενον ἀπὸ ἐτῶν κ′ μηνῶν ζ′ διακρατήσει ἔτη ϛ′ μῆ(νας) δ′ ἡμέρας ιζ′, τουτέστιν ἕως τοῦ κϛ′ ἔτους μηνῶν ια′ ἡμερῶν <ιζ′>.

Πάλιν τρίγωνον Ἄρεως Ταύρου κε′· ὀρθὴ σφαῖρα ρμβ′ λδ′· ἄφελε τοὺς τοῦ μεσουρανήματος χρ(όνους) ργ′. λοιπ(ὸν) ὑπεροχῆς λθ′ λδ′. ἡμερινοὶ ὡριαῖοι χρόνοι τοῦ τριγώνου τοῦ Ἄρεως ιη′ κε′. μέρισον παρὰ ταῦτα τὴν ὑπεροχήν· γίνονται ὧραι β′ θ′. ἀφίσταται ἄρα τὸ τοῦ Ἄρεως τρίγωνον ἀπὸ τοῦ μεσουρανήματος ὥρας καιρικὰς β′ θ′. ἀλλὰ τὸ τοῦ Διὸς διάμετρον ἀπεῖχε τοῦ μεσουρανήματος ὥρας καιρικὰς α′ ια′. πολυπλασίασον ταῦτα ἐπὶ τοὺς ἡμερινοὺς ὡριαίους χρόνους τοῦ τριγώνου τοῦ Ἄρεως, ἤγουν τοὺς ιη′ κε′. γίνονται χρόνοι κα′ μη′. ἄφελε

1 Ascensio recta Tauri 11° est 128° 29′. Rhetorius scripsit 129° [Rome] 2 τούτους P 3 Lacunam signavit Rome, qui suppl. <ἡμερινοὶ ὡριαῖοι χρόνοι τοῦ τριγώνου τοῦ Ταύρου ιζ′ λθ′. μέρισον παρὰ ταῦτα τὴν ὑπεροχήν>. 4 α′ V : δ′ P 6 ὡριαίους χρόνους V : signum horae P 8 Post κϛ′ lacuna centimetri unius P : omis. V. Numerus κθ′ deest, si 8° 50′ cum P legeris η′ κα′ V : η′ ν′ P 9 μηνῶν V hic et v. 10 : ἡμερῶν P 11 κη′ P : νη′ V. 13 ὡριαῖοι χρόνοι V : signum diei P 14 χρόνους suppl. α′ ια′] Immo 1° 17′. Erravit Rhetorius [Rome] 17 ὧραι καιρικαὶ codd., corr. Delatte α′ λ′ corr. Rome; cf. v. 3 : α′ ια′ ex versu 14 repet. codd.; 18° 7′ × 1 ½ = 27° 10′ ἡμερινούς om. V ὡριαίους (litteris exscriptum) χρόνους V : signum horae P 18 διαμέτρου τοῦ suppl. Rome κζ′ ι′ P : κζ′ V 19 ϛ′ κη′ V 20 μηνῶν V : ἡμερῶν P 21 μῆ(νας) ϵ′ codd. : corr. ἡμερῶν omis. V 22 ιζ′ supplevi 24 ὑπεροχῆς omis. V 25 ἡμερινοὶ ὡριαῖοι χρόνοι V : signum horae P 27 ὧραι καιρικαὶ codd., corr. Delatte 30 χρόνοι omis. P

ταῦτα ἀπὸ τῆς ὑπεροχῆς ἤγουν τῶν λθ′ λδ′· λοιπὸν χρ(όνοι) ιζ′ μῆνες ια′ ἡμέραι θ′. τὸ τοῦ Διὸς ἄρα διάμετρον ἀπὸ ἐτῶν κϛ′ <μηνῶν ια′ ἡμερῶν ιζ′> ἀρξάμενον κρατεῖν φθάσει ἕως ἐτῶν μδ′ μηνῶν ι′ ἡμερῶν κϛ′.

Πάλιν Σελήνη Διδύμων ιζ′. ὀρθῆς σφαίρας χρ(όνοι) ρξε′ ν′. ἄφελε ἀπὸ τούτων τοὺς τοῦ μεσουρανήματος χρόνους ργ′. λοιπὸν ὑπεροχῆς ξβ′ ν′. ἡμερινοὶ ὡριαῖοι <χρόνοι> τῆς Σελήνης ιθ′ ιγ′. μέρισον εἰς ταῦτα τὴν ὑπεροχήν, γίνονται ὧραι γ′ κα′· ἀφίσταται ἄρα ἡ Σελήνη τοῦ μεσουρανήματος ὥρας καιρικὰς γ′ κα′. ἀπεῖχε δὲ καὶ τὸ τοῦ Ἄρεως τρίγωνον τοῦ μεσουρανήματος ὥρας καιρικὰς β′ θ′. πολυπλασίασον ταῦτα ἐπὶ τοὺς ἡμερινοὺς ὡριαίους χρόνους τῆς Σελήνης, ἤγουν τοὺς ιθ′ ιγ′. γίνονται χρ(όνοι) μα′ ιθ′. ταῦτα ἄφελε ἀπὸ τῆς ὑπεροχῆς τῆς Σελήνης ἤγουν τῶν ξβ′ ν′· λοιπὸν χρ(όνοι) κα′ λα′. τὸ τρίγωνον ἄρα τοῦ Ἄρεως ἀρξάμενον ἐπικρατεῖν ἀπὸ ἔτους με′ διελεύσεται ἕως ἐτῶν ξϛ′ μηνῶν ζ′ ἡμερῶν ϵ′.

Πάλιν τὸ τοῦ Κρόνου διάμετρον Καρκίνου ια′, ὀρθὴ σφαῖρα ρϙβ′, ἄφελε ργ′, ὑπεροχὴ οθ′. ἡμερινοὶ ὡριαῖοι <χρόνοι> τοῦ διαμέτρου τοῦ Κρόνου ιθ′ ιϛ′. τὰς οὖν τῆς ἀποστάσεως τοῦ μεσουρανήματος· τῆς Σελήνης ὥρας γ′ κα′ πολυπλασίασον ἐπὶ τοὺς ιθ′ ιϛ′ ὡριαίους χρόνους· γίν(ονται) χρόνοι ξδ′ μῆνες ϛ′ ἡμέραι ιζ′. ἡ Σελήνη ἄρα παραλαβοῦσα τοὺς χρόνους ἀπὸ ἐτῶν ξϛ′ <μηνῶν ζ′> ἡμερῶν ϵ′, διακρατήσει ἕως ἐτῶν ἄλλων κϛ′ μηνῶν γ′ ἡμερῶν ιβ′, τουτέστιν ἕως ὅλων ἐτῶν ϙβ′ μηνῶν ι′ ἡμερῶν ιζ′· τὸ δὲ ἐντεῦθεν ἡ τοῦ Κρόνου διάμετρος ἀναιρετικὴ οὖσα ἀνεῖλεν.

ιϛ′. Πῶς δεῖ ζητεῖν περὶ χρόνων ζωῆς.

Τῷ ζητοῦντι τὰ περὶ χρόνων ζωῆς ἀναγκαῖον κεχρῆσθαι ταῖς μεθόδοις πάσαις Πτολεμαίου τε καὶ Οὐάλεντος καὶ τῶν Αἰγυπτίων, ἐξαιρέτως δὲ ἐπισυνάπτειν ταύταις καὶ τὸν ἐνιαυτοκράτορα

2-3 μηνῶν ια′ ἡμερῶν ιζ′ supplevi, cf. supra p. 236, v. 21 3 ἔτους V : ἔτη P 7 signum diei (= ἡμερινοί) ante ν′ transp. V. χρόνοι suppl. 8 Revera 3h 16′ non 3h 21′ [Rome] 10 καιρικὰς omis. V 11 ἡμερινοὺς ὡρ(ιαίους) χρόνους V : signum diei et horae P 24 Dixit 45 annos pro a. 44, mens. 10, diebus 26, cf. v. 4, 17 χρόνοι suppl. 20 ξδ′ V: νλ′ P : 19° 6′ × 3° 21′ = 64° 32′ 36″ [Rome] 21 ξϛ′ μηνῶν ζ′ ἡμερῶν ϵ′ scripsi, cf. v. 15 : ξϛ′ ἡμερῶν ϵ′ P : ξϛ′ ἕως οϵ′ V 23 ἐτ. ϙα′ μην. ι′ ἡμ. ιη′ codd., corr. Post ιη′ repetiit V τούτεστιν ἐτῶν ϙθ′ (sic) μηνῶν ι′ ἡμερῶν ιη′.

P(arisinus) 10 bis praebet hoc capitulum : ιϛ′, f. 20ᵛ (= P) et σκθ′, f. 38 (= P′) Ex hoc codice derivati sunt Parisinus 2420, f. 38 et 57, Berolinensis 147 (= German. 21), f. 38, quorum apographum et collationem Franciscus Boll mihi misit cum annotationibus suis. **V**(enetum) 7, f. 110ᵛ, contuli 25 Πῶς δεῖ ζητεῖν περὶ χρόνων ζωῆς P′ : περὶ χρόνων ζωῆς PV 26 Ὅτι τῷ PV χρόνον P ἀναγκαῖον ἐστὶ ζητεῖν ἢ μᾶλλον κεχρῆσθαι P′ 27 μεθόδαις sic PV πτολομαίου V

τοῦ καταλήγοντος ἐνιαυτοῦ καὶ τοὺς ἐπιθεωροῦντας αὐτὸν καὶ τὰς παραδόσεις καὶ παραλήψεις ἐκείνου τοῦ ἐνιαυτοῦ, καὶ τὰς κολλήσεις τὰς γινομένας καὶ τὰς μοιρικὰς περιόδους τῶν ἀστέρων, καθὼς ὑπέθετο Οὐάλης ἐν τῷ β′ κεφαλαίῳ τοῦ ϛ′ βιβλίου [1], καὶ τὰς τελείας ἀνατολὰς καὶ περιόδους καὶ ἀποκαταστάσεις τῶν ζῳδίων καὶ τῶν ἀστέρων τὰς συναποκαταστάσεις κατὰ τὸ ἥμισυ καὶ τρίτον καὶ διμοιραῖον, καθὼς εἶπεν Οὐάλης ἐν τῷ δ′ καὶ ε′ καὶ ϛ′ κεφαλαίῳ τοῦ ζ′ βιβλίου· εἶπε γὰρ περὶ χρόνων ζωῆς ἀπὸ τῶν περιόδων τῶν ἀστέρων καὶ τῶν ἀναφορῶν τῶν ζῳδίων μεθ' ὑποδειγμάτων. ζήτει δὲ καὶ τὸν ἐπιμερισμὸν τῆς Τύχης καὶ τοῦ Δαίμονος. πάντα γὰρ ταῦτα ἀκολούθως κατὰ λόγον ἐξετάσας οὐ πάντως ἁμαρτήσεις εἰς τὸν περὶ χρόνων ζωῆς λόγον. φησὶ δὲ καὶ Φνάϊς ὁ Αἰγύπτιος [2] καὶ Οὐάλης ἐν τῷ ε′ κεφαλαίῳ τοῦ γ′ βιβλίου ὅτι δεῖ ζητεῖν τὸν οἰκοδεσπότην τῆς γενέσεως, πῶς κεῖται φάσει <ἢ> τόπῳ. καὶ εἰ μὲν ἐπίκεντρος οὑτός, μερίζει αὐτοῦ τὰ τέλεια ἔτη. εἰ δὲ εἴη ὕπαυγος ἢ ἀποκεκλικώς, μερίζει αὐτοῦ τὰ ἐλάχιστα ἔτη ἢ μῆνας ἢ ἡμέρας ἢ ὥρας. ἐὰν δὲ μετὰ τὸν κλῆρον τῆς Τύχης, ζήτει πόσας ὥρας ἀφέστηκε τοῦ κέντρου, καὶ πολυπλασίασον τὰ τέλεια ἢ ἐλάχιστα αὐτοῦ ἔτη ἢ μῆνας ἢ ἡμέρας ἢ ὥρας ἐπὶ τῶν ιβ′, ἀφαιρῶν ὑπὲρ ἑκάστης ὥρας τὸ ιβ′ μέρος, καὶ τὸν ὑπόλοιπον χρόνον λέγε ζήσεσθαι. οὕτως μέντοι, εἰ μὲν ἀπὸ ὡροσκόπου ἕως τοῦ μεσουρανήματος ἢ θ′ ἢ η′ τόπου τύχοι ὁ οἰκοδεσπότης, τὴν ἄφεσιν τῶν ὡρῶν ποίει ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ οἰκοδεσπότου. εἰ δὲ τύχοι ὁ οἰκο-

1 ἐνιαυτοῦ P, cf. v. 2 : ἔτους P′ 2 παραλήψεις VP′ : παραλείψεις P 3 γενομένας PV καθὼς P′ : καὶ ὡς P : ὡς V Valent. VI, 1 (quod numeratur β′ in marg. cod. Vatic.; cf. ed. Krollii, p. 243, 1.) 4 τελείας PV : τ cum ε′ superscr. P′ 6 διμοιραῖον P′ : signum Virginis, PV 7 Valent. VII, 3-5, quae numerantur δ′ ε′ ϛ′ in marg. cod. Vatic. 8 περὶ χρόνων P′ : χρόνον P : χρόνους V 10 καὶ κατὰ PV 11 ἁμαρτήσῃ P : ἁμαρτησ′ V χρόνον P 12 Valent. III, 3, Krollii, p. 136, 10 ss. (locus corruptus ex Rhetorio restituendus) 13 κεῖται V : κεῖνται PP′ 14 ἢ suppl. Boll. αὐτὸς μερίζει VP : ἀπομερίζει P′ αὐτοῦ] ,αὐτ' PP′ 15 αὐτοῦ VP : αὐτῷ P′ ἐλάχιστα P′V : ἥττονα, deinde signum mathem. quod idem vel ἐλάχιστα significat P 16 ἢ ἡμερῶν ἢ ἡμέρας P′ 16-18 ἐὰν δὲ — ἢ ὥρας om. P′ 16 τῆς τύχης V : τύχῃ P 18 ἐπὶ τῇ ιβ′ ἀφαιρέσ(ει) P′ 21 et 22 τύχῃ PP′

[1] Numeratio capitulorum Valentis eadem est quae in margine codicis Vaticani 191 notatur. Hanc ergo iam circa annum 500 Rhetorius in exemplari suo legebat et eam antiquitus traditam esse apparet.

[2] Φνάης (sic fortasse rectius) Ægyptius laudatur etiam a Porphyrio in *Isag.* p. 201 una cum Antigono; cf. Bouché Leclercq, *Astrol. gr.*, p. 179, n. 1, qui nomen hoc ab Antigono fictum esse perperam credidit. Cum Porphyrius et Rhetorius pariter Antiochi opere usi sint, Phnaem auctorem ab Antiocho commemoratum esse opinor, sed fieri potest ut ὁ παλαιός qui a Valente *l. c.* (p. 136, 8) citatur, non Petosiris, sicut videtur Krollio, sed Phnaes sit, cuius nomen ignotum librarius praeterierit.

δεσπότης ἀπὸ τοῦ δύνοντος ἕως τοῦ δ′ ἢ γ′ ἢ β′ τόπου τὴν ἄφεσιν τῶν ὡρῶν ποίει ἀπὸ τοῦ δύνοντος ἕως τοῦ οἰκοδεσπότου. ταῦτα δὲ τὰ κεφάλαια πάντα ὑποτάξω ἐν τῷ ἑφεξῆς, τουτέστιν ἐν τῷ κη′ κεφαλαίῳ, διά τινων γενέσεων προτελευτησάντων. ἀναγκαῖον γὰρ δεῖξαι ὅτι ἀπὸ πολλῶν μεθόδων εἰς τὸ αὐτὸ πέρας καταλήγει τὸ περὶ χρόνων ζωῆς, εἴτε κατὰ Πτολεμαῖον, εἴτε κατὰ Οὐάλεντα, εἴτε κατὰ ἄλλον τινά. ζήτει δὲ καὶ τὰ περὶ ἀριθμοῦ κλήρου Οὐάλεντος ὡς ἐν τῷ η′ κεφαλαίῳ τοῦ γ′ βιβλίου.

ιζ′. Περὶ οἰκοδεσπότου.

Ὅτι δεῖ τὸν οἰκοδεσπότην ὁριοκράτορα εἶναι καὶ οἰκοδέκτορα τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ μαρτυρεῖν αὐτοῖς καὶ τῷ ὡροσκόπῳ. ἐὰν οὖν ὁ οἰκοδεσπότης ὡροσκοπῇ ἢ μεσουρανῇ ἢ δύνῃ ἐν ἰδίῳ ζωδίῳ καὶ ἐν ἰδίαις μοίραις ἀνατολικὸς ὢν καὶ προσθέτης, τὰ τέλεια ἔτη δίδωσιν ἑαυτοῦ. εἰ δὲ ὕπαυγος εἴη ἢ ἀποκεκλικώς, οὐκ ἔτη τὰ τέλεια δίδωσι, ἀλλὰ τὰ ἥττονα. εἰ δὲ ὕπαυγος εἴη καὶ ἀφαιρέτης, οὐκ ἔτη οὐδὲ τὰ ἥττονα ἀλλὰ μῆνας ἢ ἡμέρας ἢ ὥρας. ἀφαιρέτου δὲ ὄντος τοῦ οἰκοδεσπότου, ποίει αὐτοῦ τὸν περίπατον ἐπὶ τὰ ἡγούμενα ἀναποδίζων ἕως τῆς μοίρας ἔνθα μέλλει στηρίξας γενέσθαι προσθέτης. καὶ βλέπε μή τινι τῶν ἀναιρετῶν κολλήσῃ κατὰ τὸν τοῦ ἀναποδισμοῦ χρόνον. ἀναιρέτας δὲ λέγω Κρόνον Ἄρην Ἥλιον. τούτου δὲ τοῦ κεφαλαίου μέμνηται καὶ Οὐάλης.

ιη′. Περὶ ἀναιρέτου.

Περὶ δὲ ἀναιρετῶν οὐ τούτων μόνων μέμνηται Οὐάλης ἀλλὰ καὶ ὡροσκόπου ἀπὸ Σελήνης καὶ Σελήνης ἀπὸ ὡροσκόπου. κεῖται δὲ ἐν τῷ ι′ κεφαλαίῳ τοῦτο τοῦ ϛ′ βιβλίου. μετὰ δὲ τὸ φθάσαι τὸν οἰκο-

1 δύνοντος PP′ : ὡροσκόπου V 1-2 ἕως τοῦ — ἀπὸ τοῦ δύνοντος om. P′ 2 δύνοντος P : δου i. e. τετάρτου V 2-4 τούτου δὲ τοῦ κεφαλαίου πλεῖστα εὑρήσεις ὑπ(οδείγματα) ἐν τῷ ἑτέρῳ βιβλίῳ διά τινων P′ 3 ὑποταξέων P κη′ omis. in spatio V Deperditum esse videtur illud capitulum operis Rhetorii 5 χρόνον P 7 ἀριθμίου P′. Legendum ἀριθμοῦ κλιμακτῆρος, cf. Val. p. 148, 5 Kroll. 7-8 Valent. III, 11. In margine Vaticani numeratur η′

P(arisinus 2506), f. 21; **V**(enetus 7 [= Marcianus 335]), f. 111, cap. ρη′ 9 οἰκοδεσποτίας V 12 οὖν om. V 13-14 δίδωσι P : δώσει V 14 εἴη omis. P 15-16 οὐκέτι δὲ τὰ ἥττονα V 18 προσθέτ' V : προσθέται P, cf. cap. ιη′ p. 240, 1 19 κολλήσει codd., corr. 20 λέγει P

P(arisinus 2506), f. 21; **V**(enetus 7), f. 111, cap. ρθ′ 23 Valent. VI, 8, p. 258, 5 Kroll. 25 τοῦτο omis. P

δεσπότην τὴν μοῖραν, ἔνθα μέλλει στηρίξας γενέσθαι προσθέτης, πάλιν ἐπὶ τὰ ἑπόμενα ποίει αὐτοῦ τὸν περίπατον. εἰ δὲ μηδεὶς τῶν κακοποιῶν ἀπαντήσει κατὰ ἀκτῖνα, τότε τῇ ὡριμαίᾳ χρηστέον· τότε δὲ οἰκοδεσποτήσουσι τὰ φῶτα, ὅταν ἐπίκεντροι τύχωσι καὶ ὑπὸ τῶν ἰδίων οἰκοδεσποτῶν καὶ ὁριοκρατόρων καλῶς καὶ ἐπιτόπως θεωρούμενοι τύχωσιν.

ιθ'. Περὶ ἀνοικοδεσποτήτων γενέσεων κατὰ Οὐάλεντα.

Τοὺς οἰκοδέκτορας καὶ ὁριοκράτορας τῶν φώτων καὶ τοῦ ὡροσκόπου δεῖ λαμβάνειν οἰκοδεσπότας, ἐπὰν δὲ οὗτοι ὕπαυγοι τύχωσιν ἢ ἀποκεκλικότες ἢ μετὰ ζῳδίου ἡμέρας φάσιν δυτικὴν ποιούμενοι, ἀνοικοδεσπότητος ἔσται ἡ γένεσις. εἰ δὲ ἀποκλίνει τὰ φῶτα, ὁ ὁριοκράτωρ τοῦ ὡροσκόπου ἔσται οἰκοδεσπότης. εἰ δὲ καὶ οὗτος παραπέσῃ ἢ ὕπαυγος ᾖ, πάλιν ἀνοικοδεσπότητος ἔσται ἡ γένεσις. πολλάκις δὲ καὶ τοῦ ὁριοκράτορος ἢ οἰκοδέκτορος τοῦ αἱρετικοῦ φωτὸς καλῶς κειμένου ἕτερος ἀστὴρ οἰκοδεσποτήσει, ὃς ἂν εὑρεθῇ πλείονα λόγον ἔχων πρὸς τὴν γένεσιν καὶ καλῶς κείμενος φάσει καὶ θέσει καὶ σχήματι, οἷον Ἥλιος Ἰχθύων κ' μγ' ὁρίοις Κρόνου, Σελήνη Ζυγοῦ ς' ὁρίοις Κρόνου, Κρόνος Ζυγοῦ κε' ὁρίοις Ἀφροδίτης, Ζεὺς Ταύρου κη' ὁρίοις Κρόνου, Ἄρης Ἰχθύων κθ' ὁρίοις Κρόνου, Ἀφροδίτη Ταύρου ιε' ὁρίοις Διός, Ἑρμῆς Ἰχθύων κ' ὁρίοις Ἄρεως, ὡροσκόπος Παρθένου ς' ὁρίοις Ἑρμοῦ, μεσουράνημα Διδύμων β' ὁρίοις Ἑρμοῦ, κλῆρος Τύχης Ἰχθύων β' ὁρίοις... – Εὑρίσκομεν τὸν μὲν Κρόνον ὑποδεξάμενον ὁρίοις μόνον Ἥλιον, Σελήνην δὲ καὶ ὁρίοις καὶ τριγώνῳ καὶ ὑψώματι Ἥλιον Ἄρη Ἑρμῆν, τριγώνῳ δὲ τὸν ὡροσκόπον. ἔσονται οὖν Κρόνος καὶ Ἀφροδίτη οἰκοδεσπόται, τουτέστιν ὁ μὲν Κρόνος οἰκοδεσποτῶν, ἡ δὲ Ἀφροδίτη συνοικοδεσποτοῦσα, καὶ οἱ δύο τῷ αὐτῷ χρόνῳ κατὰ τὴν ὡριμαίαν ἕκαστος τὸν θάνατον ἀπετέλεσε. κεῖται δὲ τοῦτο ἐν τῷ δ' κεφαλαίῳ περὶ ἀτρόφων [1].

1-2 Cf. supra cap. ιζ' vv. 17-18 προσθετ' V : προσθέται P 5 ἐπὶ τόπου θεωρούμενα V

P(arisinus), f. 21ᵛ; V(enetus 7), f. 111, cap. ριʹ 7 cf. Vett. Val. III, 1, p. 134, 15 Kroll, sed ex capitulo deperdito Valentis haec hausta sunt, cf. v. 27-28 8 τοῦ ὡροσκόπου V : τῶν ὡρῶν P, cf. v. 12 10 ἀποκεκλικότες V : ἀπόκυκλοι κάτω V 18 Κρόνος post Κρόνου omis. P 21 διδύμων V : ὑδροχόου P 22 ὁρίοις... omis. P : Post ὁρίοις signum planetae deest in V 23 τριγώνῳ καὶ ὁρίοις καὶ ὑψώμασι V

[1] Caput Περὶ ἀτρόφων neque in Valentis codice Vaticano neque in summario operis Rhetorii (*Cat.* VIII, 3, p. 104 ss.) invenitur, sed ex ipsa sententiae forma apparet Rhetorium ad Valentis " Anthologias " (quamquam librum indicare supersedit), non ad aliud capitulum suorum " Thesaurorum " lectorem delegare.

κ'. Περὶ τοῦ ἐπικρατήτορος.

Ἐὰν τύχωσιν ἐπικρατήτορες τῶν χρόνων Ἥλιος καὶ Σελήνη τῆς γενέσεως ἀνοικοδεσποτήτου οὔσης, ὅρα τοὺς οἰκοδεσπότας ἢ καὶ ὁριοκράτορας τοῦ φωτός. εἰ γὰρ μαρτυρήσουσι τῷ ἐπικρατήτορι ὄντι ἐν ἀφετικῷ τόπῳ καλῶς κειμένῳ, ἐνεργέστερον καὶ ἰσχυρότερον ποιοῦσιν αὐτόν. εἰ δὲ ὁ οἰκοδεσπότης ἢ ὁριοκράτωρ τοῦ ἐπικρατήτορος ** ἰσχύει πρὸς ἄφεσιν, κἂν ἐπίτοπος τύχῃ κείμενος. ἀλλὰ λοιπὸν ἀπὸ τοῦ ὡροσκόπου ἢ τῶν ἄλλων μεθόδων τὴν ἄφεσιν δεῖ ποιεῖσθαι. καὶ τοῦτο λέγει Δωρόθεος ὅτι « παντὸς ἀφέτου χρὴ τὴν μαρτυρίαν βλέπειν » καὶ τὰ ἑξῆς.

κα'. Περὶ χρόνων διαιρέσεων.

Τὰς δὲ διαιρέσεις τῶν χρόνων οὕτως δεῖ ποιεῖν· πρὸ πάντων ζήτει τοὺς περιπάτους Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου καὶ μεσουράνημα καὶ κλῆρον τῆς Τύχης ἐκβαλλόμενον ἀεὶ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην κατὰ τὴν Πτολεμαίου κέλευσιν καὶ μὴ μόνον κατὰ τετράγωνον καὶ τρίγωνον καὶ ἑξάγωνον ζωδιακὴν πλευράν, τουτέστι τοπικήν, ἀλλὰ καὶ κατὰ τὴν μοιρικήν, ὡς ἔμαθες ἐν τῷ ις' κεφαλαίῳ· εἶτα λοιπὸν καὶ τῶν ἀστέρων δεῖ ποιεῖσθαι τοὺς περιπάτους μὴ μόνον κατὰ τὰς μεθόδους Πτολεμαίου, ἀλλὰ καὶ κατὰ τὰς ἀναφορὰς τῶν ζῳδίων, καθὼς ἀναφέρεται ἕκαστον κατὰ τὸ οἰκεῖον κλίμα, ὡς Αἰγύπτιοι διδάσκουσιν, καὶ κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν ζητεῖν ἑκάστου ἀφέτου τὴν μοῖραν ἤτοι τίνος ἀστέρος ὁρίοις ἔτυχε καὶ πρὸς τίνας τῶν ἀστέρων τὰς κολλήσεις ποιεῖται, μὴ μόνον τῶν πλανωμένων ἀλλὰ καὶ τῶν ἀπλανῶν τοῦ τε πρώτου καὶ δευτέρου μεγέθους καὶ τὸν αὐτὸν ἄνεμον ἐχόντων· οἷον ἔστω εἶναι τὸν Ἥλιον καὶ τὸν ὡροσκόπον ἅμα Κριοῦ μοί(ρᾳ) κβ' κλίματι δ'. ἡ δὲ Γοργὼ ἀπλανὴς κατὰ τὰς νῦν ἐποχὰς Ταύρου ζ'. λέγομεν οὖν ὅτι ἡ Γοργὼ κολλήσει τῷ Ἡλίῳ καὶ ὡροσκόπῳ δι' ἐτῶν ι' μηνῶν δ' καὶ ἐνεργήσει ὁ χρόνος οὗτος καὶ τῷ πατρὶ καὶ τῷ τεχθέντι, οἷον συμβαίνει γίνεσθαι ἀπὸ τῆς κολλήσεως Ἡλίου καὶ ὡροσκόπου πρὸς Δία καὶ Κρόνον, καὶ τῷ μὲν πατρὶ διὰ τὸν Ἥλιον, τῷ δὲ τεχθέντι διὰ τὸν ὡροσκόπον. φασὶ γὰρ οἱ παλαιοὶ ὅτι τῆς γενέσεως ὑπόστασιν

P(arisinus), f. 21ᵛ; V(enetum 7), f. 111. cap. ρια' contuli 3 ἢ omis. P 7 Ante ἰσχύει lac. signavi 7 ἐπὶ τόπου V. An leg. ἐπιτόπως? 8 ἀπό P : ἐπὶ V Post ὡροσκόπου aliquid deesse vi letur.

P(arisinus), f. 21ᵛ; V(enetus 7), f. 111. cap. ριβ' 14 τῆς om. P ἐκβαλλόμενον scripsi : ἐκβαλλομένη P : ἐκβαλλομένων V 15 Ptolem. III, c. 11 (p. 129 ed. a. 1553). In marg. add. V : Ζήτ(ει) οὐκ ἐν ἀριθμῷ ιζ' ἀλλ' ἔνθα γράφει περὶ τοῦ περιπάτου. Revera ad caput nunc deperditum nos delegat Rhetorius. 21 ζήτει P 25 ἔστω signo tachygraph., deinde exscriptum P ἅμα scripsi : α' μα' codd. Κριοῦ] signum dubium 26 ἡ δὲ Γοργὼ scripsi : ὁ δὲ Γοργὸς V : τὸ δὲ Γοργὸς καὶ P. Fuit fortasse τὸ δὲ Γοργόνειον, cf. Boll., *Sphaera*, p. 107 s. νῦν P : νυκτερινας V 27 ὁ Γοργὸς V : τὸ Γοργὸς P 28 οἷον P : οἷα V

χρόνων μὴ ἐχούσης εἰς τοὺς γονεῖς ἐνεργήσουσι ὡς ἐπὶ τὸ πλεῖστον τῶν παίδων τὰ ἀποτελέσματα. μετὰ δὲ ταῦτα ζήτει τὰς ἀναφορὰς καὶ τὰς περιόδους τῶν τε ζῳδίων καὶ τῶν ἀστέρων κατὰ τὰ τέλεια ἔτη καὶ μέσα καὶ ἐλάχιστα. οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ ἥμισυ καὶ δύο τρίτα καὶ τρίτον μὴ μόνον εἰς ἔτη <δεῖ> λογίζεσθαι ἀλλὰ καὶ εἰς μῆνας καὶ ἡμέρας καὶ ὥρας, καθὼς ἐξέθετο Οὐάλης ἐν τῷ ϛ′ κεφαλαίῳ τοῦ ζ′ βιβλίου. πάλιν δὲ ζήτει τὰς κολλήσεις τῶν ἀστέρων ἀπὸ τῶν περιόδων αὐτῶν κατὰ μοῖραν καὶ ζῴδιον. μετὰ δὲ τοῦτο ζήτει τοὺς ἐπιμερισμοὺς τῆς Τύχης καὶ τοῦ Δαίμονος, καθὼς ἐξέθετο Οὐάλης ἐν τῷ <κε′> κεφαλαίῳ τοῦ τετάρτου βιβλίου. ζήτει καὶ τὰς παραδόσεις καὶ παραλήψεις, καθὼς ὁ αὐτὸς διδάσκει ἐν τῷ τετάρτῳ καὶ πέμπτῳ βιβλίῳ· εἶτα λοιπὸν ζήτει τὸν ἐνιαυτοκράτορα καὶ ὡροσκόπον τοῦ ἐνιαυτοῦ, καθὼς λέγει Δωρόθεος, πῶς κεῖται φάσει καὶ θέσει καὶ ὑπὸ τίνων θεωρεῖται καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως. καὶ οὕτως λοιπὸν ποίει τὸν ἐπιμερισμὸν τοῦ ἐνιαυτοῦ. καὶ μετὰ ταῦτα ζήτει τὰς ἐπεμβάσεις τῶν ἀστέρων κατ' ἐνιαυτόν, καθὼς ἐξέθετο Ἀντίγονος ἐν τῷ δ′ κεφαλαίῳ τοῦ τετάρτου βιβλίου [1].

Εἰ δὲ μέλλεις ζητεῖν τὸ κατ' εἶδος ποίει οὕτως· περὶ πατρὸς μὲν διέκβαλε τοὺς ἐνιαυτοὺς ἀπὸ τοῦ κλήρου τοῦ πατρός, εἰ δὲ περὶ μητρὸς ἀπὸ τοῦ κλήρου τῆς μητρός· τοὺς δὲ ἐνιαυτοὺς διέκβαλε ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου καὶ μεσουρανήματος καὶ Τύχης κλήρου πρὸς ὃ προήρησαι ζήτημα, εἰ δὲ καλῶς ποιεῖς, καὶ ἀπὸ ἑκάστου κλήρου. γίνωσκε δὲ καὶ τοῦτο· Ἥλιος ἐὰν εὑρεθῇ ἀφέτης καὶ Σελήνη ὡροσκοποῦσα καὶ κολλήσωσιν ἀλλήλοις, κλιμακτῆρα θανατικὸν ἀποτελοῦσιν, οὐ μόνον δὲ κατὰ συνάντησιν ἀλλὰ καὶ κατὰ τετράγωνον ἢ διάμετρον, ὁμοίως καὶ εἰς τὰ ἑαυτῶν τετράγωνα καὶ διάμετρα. δεῖ οὖν φυλάττειν τὴν Σελήνην ἀφετεύουσαν πρὸς τὸν ὡροσκόπον ἢ τὴν προγενομένην συζυγίαν ἢ τὰς β′ διχοτόμους καὶ πρὸς τὸν Ἥλιον· αὗται γὰρ αἱ κολλήσεις κλιμακτῆρας θανατικοὺς ἀποτελοῦσι.

3 κατὰ τὰ (τὰ superscr. manu 1) P : καὶ τὰ V 4 ἐλάχιστα scripsi : ἐλάσσονα signo mathematico P : ἥττονα V 4 δύο τρίτα scripsi, cf. Valentis p. 277, 14 Kroll. Signum obscurum VP 5 δεῖ suppl. 6 Caput VII, 5, sed in Vaticano est ϛ′ 8 μοῖρα P 9 Numerus omissus in lacuna V : sine lacuna P. κε′ supplevi cf. p. 200, 31 Kroll. 10 cf. infra c. κβ′, p. 247, 24 cum annotationibus 12 ss. cf. cap. κβ′ p. 247, 12 ss. 18 cf. infra c. κβ′ p. 248, 4 ss. 19 et 20 διέκβαλλε V 23 καὶ corr. : ἢ codd. 27 φυλάττει V 29 θανατικοὺς omis. V

[1] Autigonum Nicaenum, qui post mortem Hadriani sed ante aetatem Porphyrii, id est saeculo secundo exeunte vel tertio ineunte, vixit (*Cat.* VI, p. 67 n. 1), Hephaestio Thebanus auctorem saepius affert (supra, p. 142, 32; *Cat.* VIII, 2 p. 82, 33; 84, 2; cf. ed. Engelbrecht, p. 33). Ex hoc loco apparet Rhetorium ineunte saeculo VI opus eius adhuc legisse (cf. *Cat.* II, p. 188, 4), quod quattuor libris vel pluribus constabat; cf. *Cat.* I, p. 10, f. 13; VI, p. 64, 23 : ἐν τῇ ἕκτῃ γενέσει τοῦ τρίτου βιβλίου. A Lydo quoque aetate imp. Iustiniani laudatur vel potius vituperatur (*De Ost.*, 2 = *Cat.*, I, p. 81).

κβ′. Διδασκαλία πῶς δεῖ ἀποτελεῖσθαι γενέθλια.

Μετὰ τὸ στῆσαι τὰς ἐποχὰς τῶν ἀστέρων κατὰ τὰς μοίρας καὶ τὰς φάσεις τῶν ζῳδίων καὶ τὰ ὅρια κατ' Αἰγυπτίους καὶ Πτολεμαῖον καὶ τὰ τρίγωνα αὐτῶν καὶ <τὰς> μετοχὰς καὶ τὰ ὑψώματα καὶ κοιλώματα καὶ δεκανοὺς καὶ πρόσωπα αὐτῶν καὶ μονομοιρίας καὶ λαμπρομοιρίας καὶ δωδεκατημόρια καὶ πλάτη τῶν ἀνέμων καὶ τοὺς βαθμοὺς καὶ τὰς λοξώσεις καὶ φάσεις καὶ στηριγμοὺς καὶ τὰς τῶν ἀπλανῶν συνεγγιζούσας αὐτοῖς μοιρικὰς παρανατολὰς καὶ τὰς κράσεις αὐτῶν, τότε ἔρχου ἐπὶ τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα καὶ τὰ μοιρικὰ κέντρα τῶν ιβ′ τόπων, καθὼς ἔμαθες ἐν τῷ ιε′ κεφαλαίῳ, εἶτα τοὺς ζ′ κλήρους καὶ τὰς φάσεις τῆς Σελήνης, τουτέστι τήν τε προγενομένην σύνοδον ἢ πανσέληνον καὶ τὴν τριταίαν τῆς Σελήνης καὶ ἑβδο-

P(arisinus), f. 22; V(enetus 7), f. 112, cap. ριγ′ 2 γενέθλιον V 4 καὶ omis. P 8 τὰς suppl. 11 λαμπρομοιρίας] Cf. *Cat.* VIII, 4, p. 124, n. 2. 20 In marg. add. V : ζήτει οὐκ ἐν τῷ ιε′ κεφαλαίῳ ἀλλ' ἔνθα γράφει πῶς δεῖ εὑρεῖν τὰς ϛ′ ὥρας ἃς ἀπέχει ὁ ὡροσκόπος i. e. cap. ιδ′ (p. 223); revera c. ιβ′ (p. 221), quod fuit ιε′ operis sui, memorat Rhetorius 23 τε om. V 25-244, 1 τὴν τριταίαν καὶ ζ′ καὶ μ′ P : τὴν γ′ καὶ ζ′ καὶ μ′ V

Περὶ τοῦ πόσα δεῖ ζητεῖν [1].

Μετὰ τὸ ἐκθέσθαι τὸν ὡροσκόπον καὶ τοὺς λοιποὺς τόπους τοῦ θέματος, πῆξαί τε τοὺς ἀστέρας εἰς τοὺς τόπους ἤτοι εἰς τὰ ζῳδια, ἐν οἷς τότε τὴν πορείαν ποιοῦνται, καὶ γράψαι τὰς κατὰ μῆκος αὐτῶν ἐποχάς, δέον σκέψασθαι τοὺς οἴκους, τὰ τρίγωνα, τὰ ὑψώματα, τὰ ὅρια, ἤγουν τίς τῶν ἀστέρων ἰδιοθρονεῖ καὶ ὑψοῦται καὶ ἐν ὁρίοις αὐτοῦ ἢ ἀγαθοποίου ὑπάρχει καὶ πρ(οσθέτης) καὶ ἕαυτος ἢ τοὐναντίον ἐν ἀλλοτρίῳ οἴκῳ ἐστὶ καὶ ὑψώματι καὶ τριγώνῳ καὶ ἐναντιοῦται τῷ ἰδίῳ οἴκῳ ἤγουν ἑαυτῷ καὶ ταπεινοῦται καὶ εἰ ὕπαυγος ἔσται καὶ ἀφαιρέτης, εἶτα τοὺς δεκανοὺς ἤτοι τὰ πρόσωπα, τὰς μετοχάς, τὰς μονομοιρίας, τὰς λαμπρομοιρίας, τὰ δωδεκατημόρια καὶ τὰ πλάτη τῶν ἀνέμων καὶ τοὺς βαθμούς, τὰς φάσεις καὶ τοὺς στηριγμοὺς καὶ

P(arisinus), f. 73ᵛ, c. οιη′; V(enetus) 7, f. 170, c. σκθ′ 1 περὶ του om. P 3 τὸ V : τοῦ P 4-5 τοῦ θέματος τόπους transp. V 5 τε om. V 8 γράψον P 14 προσθέτης compendio codd.; cf. e. g. p. 239, 14 19-20 ἀφαιρέτ(ης) V : ἀφαί cum lineola, P 20 εἶτα V : εἶτος P 25 στηριγμούς V : ϛ′ P

[1] Hoc capitulum, quod in codicis Parisini et in codicis Veneti parte posteriore traditur, a Byzantino compilatore ex Rhetorio excerptum est. Quum interdum fidelius quam ipsum capitulum Rhetorii operis, in priore parte eorundem codicum servati, verba scriptoris Aegyptii nobis praebeat, textum eius iuxta alterum disponendum curavi. — De argumento cf. *Cat.* VIII, 4, p. 118 ss., cap. νδ′.

μαίαν καὶ τεσσαρακοσταίαν [1] καὶ τὴν συναφὴν καὶ ἀπόρροιαν αὐτῆς κατὰ μῆκος καὶ πλάτος.

Τότε δὲ λοιπὸν ζήτει τὸν τῆς γενέσεως οἰκοδεσπότην, εἶτα τὴν σπόριμον γένεσιν σκέψαι ἀπὸ τῶν Οὐάλεντος, καθὼς μετὰ ταῦτα διδάξομεν. εἶτα σκέψαι τὰς τριγωνικάς, <τετραγωνικάς>, ἑξαγωνικὰς μοιρικὰς πλευράς, καθὼς ἔμαθες ἐν τῷ ιϛ′ κεφαλαίῳ, τάς τε δεξιὰς καὶ εὐωνύμους, καὶ ταῦτα κατ' ἰδίαν σημειωσάμενος ἔχε, ἵνα ἐν τοῖς ἀποτελέσμασι τῶν περιπάτων τῶν ἀστέρων ποιῶν τὰς κολλήσεις, μὴ μόνον ζῳδιακὰς καὶ τοπικὰς λαμβάνῃς πλευράς, ἀλλὰ καὶ μοιρικάς ὡς ἀναγκαιοτέρας οὔσας μάλιστα ἐν τοῖς ὀλιγοαναφόροις καὶ πολυαναφόροις ζῳδίοις. εἶτα ζήτει τὰ περὶ χρόνων ζωῆς ἀπό τε τῶν Πτολεμαίου καὶ Οὐάλεντος. ἐν τὰς τῶν ἁπλανῶν συνεγγιζούσας αὐτοῖς μοιρικὰς παρανατολὰς καὶ τὰς κράσεις αὐτῶν καὶ τὰς συνοικειώσεις καὶ ἀντιπαθείας, τουτέστι τὰς αἱρέσεις καὶ παραιρέσεις, εἶτα τὰς φάσεις τῆς Σελήνης, τουτέστι τὴν προγεγονυῖαν σύνοδον ἢ πανσέληνον καὶ τὴν γ′ καὶ ζ′ καὶ μ′ [1] καὶ τὴν συναφὴν καὶ ἀπόρροιαν αὐτῆς κατὰ μῆκος καὶ πλάτος,

ἔτι δὲ τὸν σπόριμον ὡροσκόπον, ὡς οἱ παλαιοὶ Αἰγύπτιοι, καὶ τὸν οἰκοδεσπότην τῆς γενέσεως, τὰς τριγωνικάς, τετραγωνικάς, ἑξαγωνικὰς μοιρικὰς πλευράς, τάς τε δεξιὰς καὶ εὐωνύμους· ταῦτα πάντα κατ' ἰδίαν σημειωσάμενος ἔχε, ἵνα ἐν τοῖς ἀποτελέσμασι τῶν περιπάτων τῶν ἀστέρων ποιῶν τὰς κολλήσεις μὴ μόνον ζῳδιακὰς καὶ τοπικὰς λαμβάνῃς πλευράς, ἀλλὰ καὶ μοιρικάς, ὡς ἀναγκαιοτέρας οὔσας, μάλιστα ἐν τοῖς ὀλιγοαναφόροις καὶ πολυαναφόροις ζῳδίοις.

2 cf. infra, p. 246, 24 et supra, p. 181 15 Valens, I, cap. 23 (p. 50 s. Kroll.) 17 τὰς τριγωνικὰς ἑξαγωνικὰς V : τοὺς deinde trianguli duo et signum hexagoni P τετραγωνικὰς suppl. 19 Cap. 16 = p. 227 ss. 24 ποιῶν V : ποιῶνται P 25-26 λαμβάνεις P : λαμβαν′ V 26 ὀλιγοαναφόροις in marg. πολυαναφόροις P 31 Cf. Ptolem., III, 9; Val., II, 27 (p. 94 Kroll)

10 αὐτ′ V : αὐτοῖς P 22 λαμβάνεις P : λαμβάνειν V

[1] De die tertia, septima, quadragesima Lunae cf. quae exposuimus *Cat.* VIII, 4 p. 206, n. 1.

δὲ τοῖς περιπάτοις τῶν ζῳδίων αἱ κολλήσεις αὐτῶν καὶ τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος καὶ τῶν κλήρων, αἱ πρὸς τοὺς ἁπλανεῖς γιγνόμεναι κατὰ τὰς κράσεις αὐτῶν, μεγίστας ἔχουσιν ἐνεργείας, ὅταν τὸ αὐτὸ πλάτος ἔχωσι.

ἐν γὰρ τοῖς περιπάτοις τῶν ἀστέρων αἱ κολλήσεις αὐτῶν καὶ τοῦ ὡροσκόπου καὶ μεσουρανήματος καὶ τῶν κλήρων αἱ πρὸς τοὺς ἁπλανεῖς γιγνόμεναι κατὰ τὰς κράσεις αὐτῶν μεγίστας ἔχουσιν ἐνεργείας, ὅταν τὸ αὐτὸ ἔχωσι πλάτος·

Ὁ μὲν οὖν τοῦ Κρόνου περίπατος σημαίνει ἀνασκευὰς πραγμάτων καὶ σίνη καὶ πάθη καὶ πένθη καὶ πάππους ἢ πατέρας καὶ μείζονας ἀδελφοὺς καὶ τὰς ἀπὸ νεκρικῶν ὠφελείας ἢ βλάβας ἢ καθύγρους κινδύνους. ὁ δὲ τοῦ Διὸς σημαίνει δόξας, φιλίας, γνώσεις μεγιστάνων καὶ προστασίας καὶ κτήσεις ἀγαθάς. ὁ δὲ τοῦ Ἄρεως στρατείας, δημόσια πράγματα, θράσος, δίκας, θορύβους, αἰφνιδίους πολέμους, ἐμπρησμούς, τομὰς ἀπὸ σιδήρου ἢ πτώσεως. ὁ δὲ τῆς Ἀφροδίτης γάμον, φιλίας, ἐρωτικὰς διαθέσεις, συνηθείας, εὐημερίας, ἀπὸ γυναικῶν ὠφελείας ἢ βλάβας ἢ ἀπὸ μητρὸς ἢ ἀπὸ θηλειῶν ἀδελφῶν. ὁ δὲ τοῦ Ἑρμοῦ σημαίνει εἶναι ἀδελφούς, λόγους, παιδείας, δοσοληψίας, δούλους, ἀπελευθέρους· ὁ δὲ τοῦ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου καὶ μεσουρανήματος καὶ κλήρου Τύχης περίπατος, τί σημαίνει ἕκαστος αὐτῶν, εἴρηται ὑπὸ Πτολεμαίου.

Ἕκαστον οὖν τῶν ἀστέρων χρὴ κρίνειν καὶ κατὰ τὰς κολλήσεις τῶν τε πλανωμένων καὶ ἁπλανῶν καὶ τοῦ Ἀναβιβάζοντος <καὶ Καταβιβάζοντος> καὶ τῆς τῶν ὁρίων ἐνεργείας καὶ οὕτω προστοχάζεσθαι τὸ μέλλον· τὰς δὲ ἀναφορὰς τῶν ζῳδίων δεῖ λαμβάνειν ἐν μὲν

Ἕκαστον οὖν τῶν ἀστέρων χρὴ κρίνειν καὶ <κατὰ> τὰς κολλήσεις αὐτῶν τῶν τε πλανωμένων καὶ τῶν ἁπλανῶν καὶ τοῦ Ἀναβιβάζοντος καὶ Καταβιβάζοντος καὶ τῆς τῶν ὁρίων ἐνεργείας καὶ οὕτω <προ>στοχάζεσθαι τὸ μέλλον· τὰς δὲ ἀναφορὰς τῶν ζῳδίων δεῖ

1-7 Cf. *Cat.* VIII, 4, p. 124, 21-28. Haec ex Sarapione Alexandrino, ut videtur, habuit Rhetorius; cf. *Cat.* VIII, 4, p. 231, 3 ss. et infra p. 247

5 γενόμεναι P κατὰ V : καὶ P

8-20 omis. compilator Byzantinus 8 ὁ μὲν οὖν V : ὁ δὲ P 8 ss. Cf. *Cat.* VII, p. 214, 10 ss. 11 ss. Cf. *Cat.* VII, p. 216, 4 ss. 12 ss. Cf. *ibid.*, p. 217, 14 ss. 14 ss. Cf. *ibid.*, 220, 1 ss. 16 ἢ ἀπὸ μητρὸς ἢ ἀπὸ scripsi : καὶ μητρὸς καὶ ἀπὸ codd. 17 ss. Cf. *Cat.* VII, 221, 15 ss. δοσοληψίας] Cf. *Cat.* V, 1, p. 201, 16-17, ubi vocabulum perperam correxi.

22 κρίνειν scripsi : κινεῖν codd. 24-25 καὶ Καταβιβάζοντος suppl.

22 κινεῖν codd., corr. κατὰ suppl. 23 τε πλανωμένων V : πεπλανωμένων P 26 καὶ omis P 27 στοχάζεσθαι post lac. IV, litt. P : lac. omis. V

ταῖς Πτολεμαίου μεθόδοις κατὰ τὸν Πρόχειρον Κανόνα, ἐν δὲ ταῖς τῶν Αἰγυπτίων κατὰ τὸν Αἰγυπτιακὸν καὶ ἐν ταῖς Οὐάλεντος κατὰ τὸν Οὐάλεντος. εἶτα ζήτει περὶ γονέων ἀπὸ τῶν Πτολεμαίου καὶ Δωροθέου μεθόδων καὶ ἀπὸ τῶν κλήρων αὐτῶν κατὰ τοὺς ἄλλους ἀρχαίους· εἶτα περὶ ἀδελφῶν ἀπὸ τοῦ τρίτου τόπου καὶ τῶν κλήρων τῶν ἀδελφῶν, εἶτα περὶ μορφῆς καὶ περὶ ποιότητος ψυχῆς ἀπὸ τῶν Πτολεμαίου, καὶ περὶ σινῶν ἢ παθῶν ἀπό τε τῶν Πτολεμαίου καὶ τῶν ἄλλων, καθὼς καὶ προεγράψαμεν, εἶτα περὶ τύχης ἀξιωματικῆς ἀπὸ τῶν Πτολεμαίου καὶ τῶν ἄλλων, εἶτα περὶ γάμου καὶ τέκνων καὶ ξενιτείας, εἶτα τὰ ἀποτελέσματα τοῦ πίνακος τῆς δωδεκατόπου, καθὼς εἴρηται ἐν τῷ ε' κεφαλαίῳ, εἶτα τὰ ἀποτελέσματα τῶν συναφῶν καὶ ἀπορροιῶν, καθὼς διδάξω μετὰ ταῦτα, εἶτα τὰ δεκανικὰ ἀποτελέσματα ὡροσκόπου, Ἡλίου καὶ Σελήνης καὶ τῶν ε' ἀστέρων καὶ τῶν κλήρων κατὰ Τεῦκρον τὸν Βαβυλώνιον, εἶτα τὰ ἀποτελέσματα τρίγωνα τετράγωνα διάμετρα ἑξάγωνα τῶν ἀστέρων κατὰ Δωρόθεον καὶ τοὺς ἄλλους· εἶτα λαβεῖν ἐν μὲν ταῖς Πτολεμαίου μεθόδοις κατὰ τὸν Πρόχειρον Κανόνα, ἐν δὲ ταῖς τῶν Αἰγυπτίων κατὰ τὴν τῶν Αἰγυπτίων καὶ ἐν ταῖς τοῦ Οὐάλεντος κατὰ τὰς τοῦ Οὐάλεντος. εἶτα ζήτει περὶ γονέων ἀπὸ τῶν Πτολεμαίου καὶ Οὐάλεντος καὶ Δωροθέου μεθόδων καὶ ἀπὸ τῶν κλήρων αὐτῶν, εἶτα περὶ ἀδελφῶν, καθὼς ὁ Πτολεμαῖος, καὶ ἀπὸ τοῦ γ' τόπου καὶ τῶν κλήρων αὐτῶν, εἰθ' ἑξῆς περὶ γενέσεως καὶ χρόνων ζωῆς, μορφῆς σωματικῆς, διαπλάσεως, περὶ σινῶν, ποιότητος ψυχῆς καὶ παθῶν ψυχικῶν, τύχης τε κτητικῆς καὶ ἀξιωματικῆς, βίου, πράξεως, γάμου, τέκνων, φίλων, δούλων καὶ ξενιτείας, ἐπισυνάπτων τούτοις τὰ τοῦ πίνακος τῆς δωδεκατόπου ἀποτελέσματα, ἔτι τε τῶν συναφῶν καὶ ἀπορροιῶν Ἡλίου καὶ Σελήνης καὶ τῶν λοιπῶν ἀστέρων τὰ ἀποτελέσματα καὶ τοῦ ὡροσκόπου καὶ τῶν κλήρων κατὰ Τεῦκρον τὸν Βαβυλώνιον, εἶτα τὰ ἀποτελέσματα τῶν τριγώνων τετραγώνων διαμέτρων ἑξαγώνων καὶ συνόδων τῶν ἀστέρων κατὰ Δωρόθεον καὶ τοὺς ἄλλους, καὶ τὰς τοπικὰς διακρίσεις τῶν ἀστέρων καὶ τῶν ὁρίων αὐτῶν καὶ τοῦ Ἀναβιβάζοντος καὶ Καταβιβάζοντος τὰ ἀποτελέσματα, εἶτα τὴν τοῦ θανάτου ποιότητα κατὰ Πτολεμαῖον καὶ Δωρόθεον καὶ Οὐάλεντα, εἶτα τὴν τῶν χρόνων διαίρεσιν.

12 Cf. Ptol. III, 14, Περὶ μορφῆς καὶ κράσεως σωματικῆς et III, 16 15 Ptol. III, 16 16 καὶ omis. V Cf. supra *Cat.* VIII, 4, p. 186 ss., cap. ξα' 18 Ptol. III, 2 21-22 δωδεκατόπου corr. : ιβ' τρόπου codd. 22 Cf. *Cat.* VIII, 4, p. 126, 12 24 Cf. *supra* p. 181 27-28 τὸν κλῆρον P 29 De hoc opere Teucri Babylonii cf. Boll, *Cat.* VII, p. 192 ss. et *Cat.* VIII, 4, p. 196, n. 1

1 πτολομαίου V : πτο. P ac sic deinceps 2 πρόχειρον V : ἄγχειρ sic P 3 τῶν om. V 5 τοῦ omis. V 6 ζήτει om. P 7 τῶν om. V 17 cf. Ptolem. IV, 1, capitula Περὶ τύχης κτητικῆς, Περὶ τύχης ἀξιωματικῆς, Περὶ συναρμογῶν, Περὶ τέκνων, Περὶ δούλων, Περὶ ξενιτείας 20 τὰ om. P 21 δωδεκατόπου recte V : δωδεκατρόπου P 32 Leg. διαιρέσεις? Cf. p. 247, 1 *a*.

Πρὸ πάντων οὖν ζήτει τὸν ἐνιαυτοκράτορα καὶ τὴν θέσιν καὶ τὰς μαρτυρίας αὐτοῦ καὶ εἰ τὸν οἶκον αὐτοῦ ὁρᾷ καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως· εἶτα ζήτει τὸν ὡροσκόπον τοῦ ἐνιαυτοῦ ἀπὸ τῆς καταστατικῆς μοίρας τοῦ Ἡλίου, τουτέστι τῆς ἀκριβοῦς ὥρας τῆς ἀντιγενέσεως, καὶ τοὺς ἐπιθεωροῦντας αὐτὸν καὶ τὸν κύριον αὐτοῦ, εἶτα λοιπὸν ποιεῖ τοὺς ἐπιμερισμοὺς τῆς Τύχης τε καὶ τοῦ Δαίμονος, καθὼς Οὐάλης, καὶ τὰς παραδόσεις καὶ παραλήψεις τῶν ἀστέρων, καθὼς Οὐάλης, εἶτα λοιπὸν ποιεῖ τὰς δεκαετηρίδας, καθὼς Αἰγύπτιοι, καὶ μετὰ ταῦτα ποιεῖ τὸν ἐπιμερισμὸν τοῦ ἐνιαυτοῦ.

Τὸ δὲ κατ' εἶδος οὕτως· ἐπὶ μὲν

Πρὸ πάντων οὖν ζήτει τὸν ἐνιαυτοκράτορα καὶ τὴν θέσιν καὶ τὰς μαρτυρίας αὐτοῦ καὶ εἰ τὸν οἶκον αὐτοῦ ὁρᾷ καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως καὶ εἰ τὸ αὐτὸ σχῆμα ἐφύλαξεν ὃ καὶ ἐπὶ γενέσεως, καὶ τὸν ὡροσκόπον τοῦ ἐνιαυτοῦ ἀπὸ τῆς καταστατικῆς μοίρας τοῦ Ἡλίου, τουτέστι τῆς ἀκριβοῦς ὥρας τῆς ἀντιγενέσεως, καὶ τοὺς ἐπιθεωροῦντας αὐτόν τε καὶ τὸν κύριον αὐτοῦ, εἶτα ποιεῖ τοὺς ἐπιμερισμοὺς τῆς Τύχης καὶ τοῦ Δαίμονος, καθὼς Οὐάλης, καὶ τὰς παραδόσεις καὶ παραλήψεις τῶν ἀστέρων, καθὼς ὁ αὐτός, εἶτα λοιπὸν τὰς δεκαετηρίδας, καθὼς Αἰγύπτιοι.

5 Cf. *Cat.* VIII, 4, p. 123, 8 ss., 205, 8 τὸν suppl. 11-14 Cf. supra cap. κα' p. 242, 12 Ex Sarapione Alexandrino; cf. *Cat.* VIII, 4, p. 231, 7-9 15 ss Ex Sarapione; cf. *ibid.* v. 10-12 22 αὐτοῦ cod. : τῆς τύχης, ut in exc. scripsi, cf. supra c. κα', p. 242, 8-9; c. ιϛ', p. 238, 10 23 Valens, IV, 24, p. 200, 31 Kroll (ubi leg. ἐπιμερισμοί pro μερισμοί) 24 Cf. supra c. κα', p. 240, 10 25 Valens, IV, 17 (p. 189, 4; cf. p. 209, 2) 27 Leg. δωδεκαετηρίδας? Sed cf. Val., p. 251, 24 ss. Dittenberger, *Or. Gr. inscr.*, 722, 6. Dion. Cass., LVII, 24, 1; LXXVII, 1, 1 30 Cf. supra, p. 242, 18 ss.

13 εἰ superscr. V 19-20 τῆς ὥρας τῆς ἀκριβοῦς transp. P

γεννήσεως διέκβαλε τὰ ἔτη ἀπὸ ὡροσκόπου καὶ μεσουρανήματος καὶ Ἡλίου καὶ Σελήνης καὶ Τύχης· περὶ δὲ πατρὸς ἀπὸ τοῦ κλήρου τοῦ πατρὸς ἢ <περὶ μητρὸς ἀπὸ τοῦ κλήρου> τῆς μητρὸς ἢ ἀπὸ ἑκάστου τόπου ἢ ἀπὸ κλήρου τοῦ ἐνιαυτοῦ ἢ τοῦ Ἑρμοῦ.

5 περὶ μ. ἀ. τ. κλήρου suppl.; cf. p. 242, 18 8 Ἑρμοῦ vix sanum

F. 57. ρμς′. <Πάλχου> περὶ στάσεως καὶ ἐμφυλίων πολέμων καὶ σφαγῆς.

Ἄρης τῷ Ἡλίῳ συνὼν παρ' αἵρεσιν ἢ τετραγωνίζων ἢ διαμετρῶν ἢ τὸν Ἥλιον ἢ τὴν Σελήνην, εἰ μὲν ἐν τοῖς ἀνθρωποειδέσιν ἐστίν, στάσεις ἐμφυλίους ποιεῖ καὶ πολέμους καὶ σφαγὰς ἢ αὐτοχειρίας· ἐπὶ δὲ τῶν μελεοκοπουμένων ἢ κατὰ τὸ Γοργόνειον τοῦ Περσέως, ἀποκεφαλιζομένους ἢ εἰς μέλη κοπτομένους· ἐν δὲ Σκορπίῳ καὶ Ταύρῳ ..... καύσεσιν ἢ τομαῖς ἀποθνήσκοντας ἢ σπασμοῖς· ἐπὶ δὲ τοῦ μεσουρανήματος ἢ ἀντιμεσουρανήματος σταυροῖς ἀνορθουμένους[1] καὶ μάλιστα περὶ Κηφέα καὶ Ἀνδρομέδαν· ἐπὶ δὲ τοῦ δυτικοῦ ἢ ὡροσκόπου ζῶντας καιομένους· ἐν δὲ τοῖς τετράποσιν, ἀπὸ συμπτώσεων ἢ συνθραύσεων ἀποθνήσκοντας· τοῦ δὲ Διὸς κεκακωμένου καὶ μαρτυροῦντος ἐπισήμαινε κατακρίσεις ἢ χόλους ἡγεμόνων ἢ βασιλέων.

P(arisinus 2506), f. 57; **V**(enetus 7), f. 194, cap. τα′; **R**(omanus 2 = Angel. 29), f. 120ᵛ, cap. ϙγ′. 9 Πάλχου supplevi. Hoc caput stat in cod. Angelico inter collectanea Palchi 14 μελοκοπουμένων P: μελλοκοπουμένων V; cf *Cat.* I, p. 166, 9; *Cat.* V, 3, p. 97. 20 15 Lacuna XVIII litt. PV: omisit R 18 κηφέα PR: κυφ′ V ἀνδρομέδα VR ὡροσκοποῦντος V 19 ζῶντας καιομένους PV: ζῶνας καὶ ὤμους R Post τετράποσιν haec tantum praebent PV: ἄριστον εἰς πόλεμον συμβαλεῖν ὅταν ἡ Σελήνη πλησιφαὴς ᾖ, quod ad aliud argumentum pertinet.

[1] Auctor Palchi ante imperatoris Constantini aetatem vixisse videtur, qui crucis supplicium sustulit; cf. Mommsen, *Strafrecht*, p. 921.

F. 62. ροε′. Περὶ τῶν ἐτῶν τῆς βασιλέως ἀρχῆς. Οὐάλεντος.

Λάμβανε τὸν Ἥλιον καὶ τὴν μοῖραν τοῦ μεσουρανήματος καὶ τοὺς κυρίους αὐτῶν καὶ τὸν πλείονα ἔχοντα λόγον ἐξ αὐτῶν πρὸς τὸν Ἥλιον ἢ τὸ μεσουράνημα, ἐὰν εὑρεθῇ ἐπίκεντρος ἢ εἰς ἐπαναφορὰν καλῶς κείμενος καὶ ἀτήρητος παρὰ τῶν κακοποιῶν, ποίησον αὐτὸν τεκμήριον τοῦ βασιλέως. εἶτα κίνησον αὐτὸν εἰς τόπον ἀναιρετικὸν ἀπὸ τῆς ἐπαναφορᾶς ἤγουν εἰς σῶμα κακοποιὸν ἤτοι Κρόνον ἢ Ἄρην καὶ τὴν ἀκτινοβολίαν αὐτῶν· καὶ ὅσαι μοῖραι εὑρεθῶσιν ἀναμεταξὺ αὐτῶν, τοσούτους χρόνους κρατήσει.

F. 63ᵛ. ρπγ′. Περὶ ὀνείρων.

Στήσας τῷ θέματι μετὰ ψήφου ὀκριβοῦς, σκόπει τὸν θ′ τόπον, τίς τῶν ἀστέρων αὐτῷ ἔνεστι· καὶ εἰ μὲν τύχῃ ὁ Κρόνος ἐκεῖσε μετὰ τοῦ Ἀναβιβάζοντος, ὁ ὄνειρος φοβερὸς ἔσται, οἷον ὄφεις, δράκοντες, ἐλέφαντες καὶ τὰ ὅμοια κατὰ τὴν φύσιν τοῦ Κρόνου· βλέπε δὲ καὶ τὸν Κρόνον ποίου τόπου οἰκοδεσποτεῖ· καὶ κατὰ τὸν τόπον ἐκεῖνον ἀποφαίνου εἶναι τὸ φοβερὸν ὅραμα· εἰ δὲ οὐκ ἔστι μετὰ τοῦ Ἀναβιβάζοντος, τάφους, νεκροὺς καὶ τὰ τοιαῦτα· εἰ δὲ ἀντὶ τοῦ Κρόνου ἐστὶν ὁ Ζεὺς εἰς τὸν θ′ τόπον, βασιλεῖς ἑωρακέναι τὸν ἰδόντα ἢ ἄρχοντα ἢ μητροπολίτην ἢ ἄλλον τινὰ τοιοῦτον κατὰ τὴν φύσιν τοῦ Διός· εἰ δὲ Ἄρης ἐστί, πωλία κρατεῖν ἢ πόλεμον ὁρᾶν ἢ ἐπιβουλὰς ἢ κοπάς, τοιχωρυχίας, ἐμπρησμούς, θορύβους καὶ ταραχὰς ἢ μαχαίρας, σπάθας, δόρατα καὶ τὰ ὅμοια. εἰ δὲ Ἀφροδίτη ὡραῖόν τι πρᾶγμα καὶ καλὸν ὁραθῆναι, ἢ γυναῖκας καὶ γάμους κατὰ τὴν φύσιν τῆς Ἀφροδίτης, μυρίσματα, εὐωδίας, μαργαρίτας· εἰ δὲ ὁ Ἑρμῆς, γραφάς, βίβλους, ἐκκλησίας, ψαλμῳδίας, ἄργυρον, χρυσόν, εἰκόνας, ζωγραφίας, πωλοῦντας, ἀγοράζοντας καὶ τὰ ὅμοια· εἰ δὲ ὁ Ἥλιος, ὅ τι πετᾷ, ὑψοῦται ἀπὸ τῆς γῆς ἢ βασιλεύει, φῶτα, λαμπάδας καὶ τὰ ὅμοια. εἰ δὲ ἡ Σελήνη, γραῦν ἢ γυναῖκα στρογγυλοπρόσωπον ἢ ποτάμους ἢ φρέατα, πηγάς, λίμνας καὶ τὰ ὅμοια· εἰ δὲ οὐκ ἔστι τις τῶν ἀστέρων εἰς τὸν θ′ τόπον, βλέπε τὸ ὑπόγειον· καὶ εἴ ἔστι τις ἐν αὐτῷ, τὰ αὐτὰ ἀποφαίνου ἃ ἔλεγες καὶ ἐν τῷ θ′· εἰ δὲ οὐδὲ ἐν αὐτῷ ἐστί τις τῶν ἀστέρων, σκόπει

P(arisinus), f. 62; **V**(enetus 7), f. 119, c. ρμε′. Titulus ut in V: Περὶ τῶν τοῦ (βασιλέως litt. cryptogr.) ἐτῶν ἀπὸ φωνῆς Οὐάλεντος P 5 ἐὰν V: εἰ P 6 αὐτὸν om. P

P(arisinus 10); **V**(enetus 7), f. 198, c. τκζ′ 13 ἐν αὐτῷ P; cf. 31, 32 τοῦ omis. V 21 πωλία κρατεῖν vix sanum An πολιορκεῖν? ὁρᾷ P κλοπὰς P, fors. recte 32 εἰ δὲ οὐδὲ ἐν αὐτοῖς ἔστι τις iter. P

τὸν ὡροσκόπον ἐν τῷ θ′· εἰ δὲ οὐδὲ ἐν αὐτοῖς τοῖς τόποις ἐστί τις τῶν ἀστέρων, σκόπει τὸν κύριον τοῦ θ′ τόπου ἢ ὡροσκόπου ἢ τοῦ γ′ εἰς ποῖον τόπον ἐστί, καὶ κατὰ τὴν φύσιν τοῦ ἀστέρος καὶ τοῦ τόπου ἀποφαίνου.

F. 71ᵛ. σιε′. <Πάλχου> περὶ ἀποδημίας ἐξ ἀνεπιγράφου.

Ἐάν τις ἐκ τῆς πατρῴας αὐτοῦ γῆς ἀποδημῆσαι θέλῃ εἰς ἑτέραν γῆν, χρὴ αὐτὸν ὁρᾶν τὸν ὡροσκόπον καὶ τὸ δυτικὸν κέντρον καὶ τὸ μεσουράνημα καὶ ἀντιμεσουράνημα, ζητεῖν δὲ καὶ τοὺς καλῶς διαπράττοντας ἀστέρας καὶ τοὺς βουλομένους χαλεπά τινα, ποίαν θέσιν ἔχουσι καὶ ποῖα σχήματα καὶ τίνες ἐκ τούτων κρατοῦσιν καὶ ὁπόσαι μαρτυρίαι εἰσί. κρεῖσσον δὲ ὅταν ἡ Σελήνη ταχὺ πορεύεται καὶ συστρέφεται· τότε γὰρ ἡ ὁδὸς βελτίων ἔσται. ἀγαθοποιὸς δὲ ἀστὴρ ἐν τῷ ὡροσκόπῳ βεβηκὼς ἐν πᾶσιν ἄριστος καὶ κάλλιστός ἐστιν. ὁμοίως δὲ καὶ ἐν τῷ δυτικῷ κέντρῳ ἀγαθὰ ἐπεμβαίνων, τότε εἰς δόξαν ἢ εἰς κέρδος ἀπέρχεται. ἐαν δὲ ὁ Κρόνος ἢ ὁ Ἄρης εὑρεθῇ σὺν τῇ Σελήνῃ, ὁ μὲν Κρόνος νόσους χαλεπὰς κατασκευάζει, ὁ δὲ Ἄρης μάχας καὶ ὕβρεις χαλεπὰς καὶ συμφορὰς τῷ ἀνδρὶ παρέχει. ἐὰν δὲ ἀμφότεροι Κρόνος καὶ Ἄρης εὑρεθῶσιν σὺν τῇ Σελήνῃ, ζημίας χαλεπὰς καὶ συμφοράς· εἰ δὲ ὁ Ἑρμῆς μετὰ ἀγαθοποιοῦ εὑρεθῇ, ἀγαθός ἐστιν, ἐὰν δὲ μετὰ κακοποιοῦ, κακός. σκόπει δὲ καὶ τὸν οἰκοδεσπότην τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου μήπου τὰ φέγγη αὐτῶν κεκρυμμένα ὑπὸ τῶν αὐγῶν τοῦ Ἡλίου εἰσὶν ἢ στηριγμὸν ποιοῦνται ἤ τις ἅμα τῶν οἰκοδεσποτούντων στηρίζῃ. δυσχερὴς γάρ ἐστιν ὁ στηριγμός. τὰς γὰρ ὁδοὺς καὶ τὰς πράξεις δυσανύστους καὶ δυσκόλους κατασκευάζει. ἡνίκα δὲ τὸ τετράπλευρον τῆς Σελήνης κατέχουσιν ἢ κατὰ διάμετρον ἀντικρὺ φέρονται οἱ ἀστέρες οἵτινες τὰς ἀγαθὰς δόσεις παρέχουσιν,

4 ἀποφαίνου V : φαίνου P
P(arisinus 10); **V**(enetus 7). f. 302ᵛ, c. φξ′; **R**(omanus 2 = Angelic. 29), f. 130, c. ρκ′ — Πάλχου addidi : In codice R inter Palchi collectanea invenitur 5 ἀποδημίας R : ἀποδήμου V et P m. 2. 6 θέλει P 8 καὶ omis. P 9 πράττοντας PV βολομένας sic P 11 κρεῖσσον RV : κρείσσων P ὅταν R : εἰ καὶ PV 11-12 στρέφεται VR 12 πότε P βελτία sic R δὲ om. PV 14-15 εἰς κέρδος καὶ εἰς δόξαν PV 15 δὲ om. PV σὺν PV : ἐν R 17 ἐὰν R : εἰ PV 18 Ἄρης καὶ Κρόνος R σὺν PV : ἐν R χαλεπὰς omis. PV 19 ἐστιν PV : ὑπάρχει R ἐὰν R : εἰ PV 20 σκόπει R : σκοπεῖν δὲ PV 21 τὸ φέγγος PV κεκρυμμένον PV 22 τὰς αὐγ′ R εἰσὶν om. PV στηριγμὸν ποιοῦνται R : ἐξάγωνον (signo astrologico) ποιεῖ PV 23 οἰκοδεσποτούντων στηρίζῃ R : οἰκοδεσποτῶν ϛ′ sic PV στηριγμός R : ϛ cum o superscr. P : ετ (ligatura) V 24 δυσανύστους scripsi : δυσανήστους in — ίστους corr. P : δυσανίστους V : δυσανάντους R Leg. δυσανάντεις? 25 κατέχωσιν R ἢ δὲ R διάμετρον RV : τὸ P

ἐὰν διαμείνωσιν ἕως ἂν ἔλθῃ ἡ Σελήνη ἐπ' αὐτούς, ἀγαθὴ ἡ ὁδοιπορία αὐτῶν γενήσεται. ἐὰν δὲ ἐναντίως πάλιν τις γένηται τοῦ Κρόνου ἢ τοῦ Ἄρεως ἐν τούτοις τοῖς τόποις, οὐδὲν ὁμοίως γενήσεται ἀγαθόν.

Περὶ ξενιτείας.

Ξενιτείαν δὲ χρονίζουσαν ἐὰν θέλῃς μαθεῖν, σκόπει τὸν Ἥλιον καὶ τὸ διάμετρον τοῦ Ἡλίου, ἔτι δὲ καὶ τὸ τετράγωνον καὶ τίνι δεκατοῖ, καὶ τίς εἰς ταῦτα παρεγένετο· ἐὰν ἡ Ἀφροδίτη ἢ Ζεὺς εἰς ταῦτα παρεγένετο, ἡ ἐπάνοδος τούτου ἀβλαβὴς γενήσεται, ἐὰν δὲ οἱ κακοποιοὶ ἐν τούτοις τοῖς τόποις γένωνται ἢ καὶ ἡ Σελήνη ἐξ ἐναντίας τούτων φέρηται, ἡνίκα ἐξάρχεταί τις ἀποδημῆσαι, δυσαπάντητος καὶ χαλεπὴ ἡ ὁδὸς αὐτοῦ γενήσεται. ἡνίκα δὲ <ἐν> τούτοις τὸν Ἥλιον καὶ τὴν Σελήνην ἀγαθοποιὸς οὐ πλησιάζει, κακοποιὸς δὲ τῇ Σελήνῃ συνάπτει, σκυλμὸν καὶ κινδύνους ὑπομείνας φεύγων, εἰς τὴν πατρίδα αὐτοῦ παραγίνεται. ἐὰν δὲ εὑρεθῇ ὁ μὲν Ἄρης εἰς τὸ προηγούμενον ζῴδιον, ὁ δὲ Κρόνος εἰς τὸ ἑπόμενον, ἡ δὲ Σελήνη ἐν τῷ μέσῳ καὶ ὁ Ζεὺς μὴ ἐπιθεωρῶν, δεινὰς καὶ χαλεπὰς καὶ μείζονας τὰς συμφορὰς ποιεῖ. ἐὰν δὲ θεωρηθῇ ὑπὸ Διός, ἐλαφροτέρας τὰς λύπας ἕξει.

Τὸ β′ ζῴδιον ἀπὸ τοῦ ὡροσκόπου τὴν *ἐπάνοδον καὶ τὴν χρονίζουσαν καὶ ἀνυπόστροφον ξενιτείαν σημαίνει. σκόπει οὖν τὸν οἰκοδεσπότην τούτου· ἐὰν εὑρεθῇ ἀναποδίζων, ἡ ὁδὸς αὐτοῦ κενὴ γενήσεται καὶ οὐδαμῶς πρακτική. ἐὰν δὲ στηρίζῃ καὶ καλῶς εἰς τὸ ἔμπροσθεν φέρηται, ὁ ξενιτεύσας πολυχρονήσας καλῶς εἰς τὰ οἰκεῖα ἐπανελεύσεται. ἐὰν δὲ ἐπὶ τοῦ κέντρου τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος

2 αὐτῶν γενήσεται R : γένηται PV ἐναντίως R : ἐνἀντίον V : ἐναντ′ P τις (scil. ἀστήρ) scripsi : τι RV : om. P γενήσεται R 3 ὁμοίως R : ὅμοιον PV 4 ρκα′ Περὶ ξενιτείας (rubr.) R : omis. PV, ubi textus sine intervallo continuatur. 5 τὸν ἥλιον RV : τὴν σελήνην P 7 ταῦτα PV : ταύτην R ταῦτα PV : ταύτην R 8 γενήσεται R : γένηται PV 8-9 ἐν τ. τ. τ. γένωνται omis. PV 9 ἢ RV : ἢ P 10 ἐξέρχεταί τῆς ἀποδημίας PV δυσαπάντητος R : δήσαντος PV. Fuit fortasse δυσάνυτος, cf. p. 250, 24 11 γενήσεται R : γένηται PV ἐν τούτοις scripsi ; cf. v. 8-9 : τούτοις R : τοῦτον PV 11-12 Leg. τῷ Ἡλίῳ καὶ τῇ Σελήνῃ? 12 τῇ ☾ V : ἡ ☾ P : τὴν ☾ R 12-13 συνάπτων R 14 παραγίνεται R : παραγένηται PV ἐὰν R : εἰ PV δὲ om. R μὲν om. R προηγούμενον R : τρίγωνον PV 17 ἐὰν R : εἰ PV θεωρῆται ut vid. R ἐλαφρότερα τὰ εἰρήμενα γενήσεται R 18 ἀπὸ om. PV Adiectivum deest ante ἐπάνοδον 19 Post οἰκοδεσπότην addunt ἐν Σελήνης ὥρ. (legendum ὁρίοις?) τοῖς ἀποδημοῦσιν νόσους δηλοῖ PV, quod sententiam interrumpit 20 εἰ ἀναποδίζει PV γενήσεται R : ἔσται PV 21 ἐὰν R : εἰ PV στηρίζῃ R : τὴν cum lacuna circa XV litt. P : τὴν sine lacuna V Compendium verbi στηρίζῃ non intellexerunt librarii, cf. supra, p. 250 vv. 22, 23 εἰς superscr. P τὸ R : τὰ PV 22 φέρεται PV καλῶς omis. R.; fort. ex. v. 21 repetitum 23 ἐὰν R : εἰ PV κέντρου τοῦ om. R

εὑρεθῇ ὁ αὐτὸς κύριος τοῦ β′ τόπου, ἀσθενήσει. ἐὰν δὲ εἰς τὸ ὑπόγειον κέντρον εὑρεθῇ, θάνατον σημαίνει. ἐὰν δὲ ἡ Σελήνη σὺν τῷ Κρόνῳ ὑπόγειος εὑρεθῇ, ζημίας καὶ ξένην οἴκησιν χρονίζουσαν σημαίνει.

Ἄλλως.

Σκόπει τὸν πολεύοντα καὶ διέποντα καὶ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὴν Σελήνην ἔτι μάλιστα, ἐὰν ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος τύχωσι καὶ ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρούμενοι ἀποστρόφων ὄντων τῶν κακοποιῶν, καλὰς καὶ ὠφελίμους τὰς ἀποδημίας ποιοῦσιν· ἐὰν δὲ ἡ Σελήνη καὶ ὁ ὡροσκόπος ἐν τροπικῷ ζωδίῳ τύχωσι, ταχέως ἥξουσιν· εἰ δὲ ἐν τοῖς στερεοῖς, βραδύνουσιν· εἰ δὲ καὶ ὑπὸ συνδέσμου ἡ Σελήνη τύχῃ, ἐπὶ πλέον βραδύνουσιν. εἰ δέ πως ἐν κακοποῷ τόπῳ τύχωσιν οἱ προκειμένοι καὶ ὑπὸ κακοποιῶν ὁρῶνται, ἐναντίας τὰς ἀποδημίας ποιήσονται. εἰ δὲ καὶ στερεῷ ἢ ὑπὸ συνδέσμου, βραδύνουσιν. εἰ δὲ καὶ συναφὴν ἡ Σελήνη ποιήσεται πρὸς κακοποιὸν στηρίζοντα, ἐπιμονὴ τοῦ κακοῦ ἔσται ἢ τάχα οὐδέ ἐπανήξει, οὐδὲ ἐπὶ ξένης ἀπολεῖται. ἐπὶ δὲ τῶν τοιούτων τροπῶν παρατηροῦ. ἐπὶ μὲν γὰρ τῶν διὰ παντὸς ἀποδημούντων, ἐὰν ἡ Σελήνη ἐν τοῖς παρύγροις ζῳδίοις, ἀσυμπαθὴς ᾖ κακωθ(έν)τ(ων) τῶν παρύγρων τόπων, ἐν ᾧ .... ἀπόλλυνται. ἐπὶ δὲ τῶν καθ' ὁδὸν ἀποδημουμένων, τὰ χερσαῖα καὶ τὰ τετράποδα παρατηροῦ ζῴδια τοῦ αὐτοῦ τόπου. τὰ γὰρ ἀνθρωποειδῆ ἀμφότερα συμπαθῆ. ἐπὰν δὲ ἡ Σελήνη συμπαθῇ τοῖς ἀνήκουσι ταῖς ἀποδημίαις ζῳδίοις καὶ ὑπὸ ἀγαθοποιῶν θεωρηθῇ, σῶοι ἐπανήξουσιν. ἐπὶ μὲν τῶν ἀποδημιῶν αἱ συναφαὶ ἐνεργέστεραί εἰσι τῶν ἀπορροιῶν.

1 κύριος τοῦ β′ τόπου R : οἰκοδεσπότης PV ἀσθενήσει PV : ἀσθενῆσαι ἔχει R ἐὰν R : εἰ PV 2 κέντρον om. R ἐὰν R : εἰ PV 3 ὑπὸ γῆν R χρονίζουσαν omis. PV 4-24 Haec, quae in R desunt, iam Palchi esse non videntur 7 τόχωσι corr. : τύχῃ codd. 8 τῶν κακοποιῶν ὄντων transp. P ἀποδημίας P : ἀποδείξεις V 9 ποιοῦσι corr. : ποιεῖ codd. 10 καὶ om. V 11 συνδέσμου] συνδ' PV. Cf. Paul. Alex., S, 3 v. 12 προκομένοι P 14 συνδ' PV, cf. supra v. 11 16 Leg. τόπων? cf. v. 21 18 ἀσυμπαθὴς scripsi, cf. *Cat.* VIII, 4, p. 226, 4 ss. : ὁ συμπαθὴς codd. ᾖ corr. Delatte ; ἦν codd. κακωθ(εν)τ( ) V : κακωθητ( ) P 19 παρύγρων P : πανύγρων V ᾧ] Post ᾧ lacuna IV litt. P : omis. V 21 τόπου V : τρόπου P

De episcopo Euripi in Italiam relegato.

F. 74. σιθ′. Πῶς δεῖ ἐξετάζειν τὰς ἐν ταῖς καταρχαῖς ἐνιαυσίους ἐπισκέψεις.

Τὰς ἐν ταῖς καταρχαῖς ἐνιαυσίους ἐπισκέψεις τοῦτον τὸν τρόπον ἐξεταστέον· πρῶτον μὲν τοὺς ιβ′ τόπους τῆς καταρχῆς ἐρευνητέον ὁποῖα ἀποτελέσματα ἔξουσιν· ἕκαστος γὰρ τόπος διαφόρων ἀποτελεσμάτων ἐστὶ σημαντικός· τόν τε κλῆρον τῆς Τύχης καὶ Δαίμονος καὶ Ἀνάγκης καὶ Ἔρωτος, καὶ τὴν προγενομένην συζυγίαν καὶ τοῦ Ἀναβιβάζοντος καὶ τοῦ Καταβιβάζοντος, καὶ ἁπλῶς πάντα ὁμοιοτρόπως ταῖς γενέσεσι ζητητέον καὶ ἐκθετέον τὰ καθολικὰ ἀποτελέσματα. εἶτα τὰ περὶ χρόνων διαιρέσεως καθ' ἕκαστον ἔτος λεπτομερέστερον παρατηρητέον.

Καὶ ἔστω ὑπόδειγμα ἡ καταρχὴ ἐπισκόπου τινὸς Εὐρίπου [1] ἔτει ϛφι′, ἰνδικτιῶνος ιε′, μηνὶ Σεπτεμβρίῳ κα′, ἡμέρᾳ α′, ὥρᾳ γ′. Κριοῦ λ′ Ὡροσκόπος Σκορπίῳ ιη′, Ἀφροδίτη ι′η′, Τύχη κη′ — β′ τόπος Τοξότῃ — γ′ Αἰγοκέρωτι, Ζεὺς ι′ ιϛ′ — δ′ Ὑδροχόῳ, ὑπόγειον ιϛ′ κε′ — ε′ Ἰχθύσι, Ἀναβιβάζων ιζ′ ιγ′ — ϛ′ Κριῷ — ζ′ Ταύρῳ, Δύσις ιη′ — η′ Διδύμοις, Κρόνος κ′ ιε′ — θ′ Καρκίνῳ, Ἄρης κγ′ λ′ — ι′ Λέοντι μεσουράνημα ιϛ′ κε′ — ια′ Παρθένῳ, Ἥλιος κη′ κη′, Καταβιβάζων ιζ′ ιγ′, σύνοδος κζ′ ιβ′ — ιβ′ Ζυγῷ, Σελήνη ιϛ′ γ′, Ἑρμῆς ιϛ′ κε′.

Ὁ Ἥλιος σημαίνων τὸ δοξαστικὸν ὑπὸ τῶν δύο κακοποιῶν καθυπερτερεῖται καὶ ἐν ὁρίοις κακοποιοῖς ἦν, καὶ δηλοῖ σφάλματα πολλὰ καὶ ὕβρεις περὶ τὸν βίον καὶ ἔκπτωσιν, καὶ οὐδέποτε, φησὶ, λήξουσι δυσπραγοῦντες. ἡ δὲ Σελήνη καὶ αὐτὴ ἐν τῷ ιβ′ οὖσα ὑπὸ τῶν δύο

P(arisinus 10) ; **V**(enetus 7), f. 170ᵛ, c. σλ′ 6 καὶ δαίμονος om. V 8 τοῦ om. V 9 τὰ om. V 11 παρατηρητέον corr. : καὶ τηρητέον codd. Post τηρητέον signum dubium in P : omis. V 12 ἐπισκόπη ut vid. P Pro vv. 12-19 figuram thematis delineatam praebet V 12 Annus 6510 = 1002 p. C. n., cuius indictio est 15 13 σεπτεβρίῳ P : σεπρ V Κριοῦ λ′ non capio 14 Σκορπίῳ V : Ταύρῳ (signo astr.) P — Ἀφροδίτη V : signum noctis P ιη′ P : ι′ υ′ V 15 Ζεὺς ι′ ιϛ′ post ιϛ′ κε′ transp. P ὑπόγειον om. P 16 ϛ′ V : καὶ P δύσις om. P 17 ι′ Λέοντι μεσουράνημα figura cod. V : μοῖρᾳ) Λέοντος P 19 κζ′ ιβ′ V : κζ′ P, fors. recte, si V numerum loci repetivit 20 δύο V : β′ P 23 ἡ V : εἰ P τῷ om. P

[1] Nescio an huius temporis historiae scriptores aliquid narrent de hoc episcopo Euripi, sive Chalcidos in insula Euboea, qui accusatus et damnatus anno 1009 in Italiam relegatus est et exilium fugiens, Constantinopolim, ut videtur, reversus, inde in sedem episcopalem rediit. Certe nomen eius inter ea quae collegit Lequien *Oriens Christ.*, II, p. 215, non invenitur.

κακοποιῶν ὁρᾶται καὶ μάλιστα ὑπὸ Ἄρεως κατὰ τετράγωνον· ὃς μειοῖ τὸν βίον· ἔνιοι δὲ καὶ ἱεροῖς προσφεύγουσιν. ὁ δὲ Ἑρμῆς κύριος ὢν τῆς συνόδου καὶ τοῦ Ἡλίου τετράγωνος ἦν τῷ Ἄρει, καὶ δηλοῖ διαβολὴν ἔσεσθαι καὶ κατηγορίαν. καὶ ἡ Σελήνη κακοποιῷ συνάπτουσα τὰ μέλλοντα φαῦλα ἐδήλου. τὰ μέντοι τέλη χρηστά, ὅτι ὁ κύριος τῆς Σελήνης ὡροσκ(όπῳ) καὶ ὑπὸ Διὸς ἑωρᾶτο. καὶ ὁ μὲν ὡροσκόπος καλῶς ἐσχηματίζετο, τὸ δὲ μεσουράνημα κακῶς καὶ ὁ τούτου κύριος· ὁ κύριος τοῦ κλήρου ἀποκεκλικὼς καὶ ταπεινούμενος· διὸ καὶ ἐξορισθεὶς πάνδεινα ὑπέστη. οἱ γὰρ ἀστέρες ἀποκλίνοντες καὶ ταπεινούμενοι, ὑπερορίας δηλοῦσιν, ὁμοίως καὶ ἐναντιούμενοι τοῖς οἴκοις αὐτῶν. ὁ δὲ Ἄρης κύριος ὢν τοῦ ὡροσκόπου καὶ ἀποκεκλικὼς ἐδήλου καὶ νόσους ἐν ξενιτείᾳ. ὑπέφαινε δὲ καὶ ὁ ιβ′ τόπος, ἐν ᾧ ἡ Σελήνη ἐβλάπτετο ὑπὸ Ἄρεως, ἀγῶνας καὶ φόβους καὶ ἐγκλήματα, καὶ πλάνην δὲ ἐπὶ ξένης, ὡς οὖσα κυρία καὶ τοῦ θ′ τόπου. ὁ δὲ Ἄρης κύριος ὢν τοῦ ὡροσκόπου καὶ ὢν ἐν τῷ θ′, ἐδήλου σωματικὴν ὄχλησιν ἐπὶ ξένης, διὰ δὲ τὸ ταπεινοῦσθαι ἐν τῷ ἀποκλίματι καὶ εἰς ἱερὸν καταφυγήν· ὁ γὰρ θ′ τόπος καὶ ἱερὸν σημαίνει. ἡ μοιρικὴ τετράγωνος τοῦ Ἄρεως Ζυγοῦ κγ′ β′, ἥτις καὶ ἐκόλλησε τῇ Σελήνῃ μετὰ ἔτη ζ′, ἡμέρας ια′. καὶ μετὰ ἔτη ζ′ <μῆνας η′> ἡμέρας ζ′, ἔτους ϛφιζ′ μηνὶ Ἀπριλίῳ ιη′ ἡμέρᾳ β′ ἰνδικτιῶνος ζ′, μετὰ τὸ Πάσχα κατηγορηθεὶς ἐξωρίσθη εἰς Ἰταλίαν, ἔνθεν φυγὼν τῇ μεγάλῃ ἐκκλησίᾳ προσῆλθεν, καὶ δύο ἔτη τελέσας, εἰς τὴν ἰδίαν ἀπελύθη ἐπισκοπήν. τὸ οὖν η′ ἔτος, ἐν ᾧ ἡ ἐξορία κατήντησεν εἰς τὸν κύ(ριον) κατὰ πῆξιν Κρόνον, ὁ δὲ η′ μὴν εἰς διάμετρον τοῦ Ἄρεως ἤτοι Αἰγωκέρωτα, ἡ δὲ ιη′ ἡμέρα εἰς τὸ κατὰ πῆξιν Κρόνον· εἰ δὲ καὶ τὰς ἐπεμβάσεις σκοπήσεις, εὑρήσεις συντρεχούσας.

Ἐπὶ γὰρ τῶν γενέσεων ἢ καὶ ἐπὶ τῶν καταρχῶν τῶν ἀξιωματικῶν δέον τὸν κύριον τοῦ ἔτους σκοπεῖν ἐν τῇ ἀποκαταστάσει κατὰ πάροδον εἰς ποῖον τόπον τῆς γενέσεως εὑρίσκεται καὶ τίς τοῦτον ὁρᾷ, καὶ οὕτως ἀποφαίνεσθαι· οἷον, τὸ ἐτήσιον ζῴδιον ὁ Λέων, ὁ κύριος αὐτοῦ Ἥλιος εὑρέθη Ταύρῳ μετὰ Ἀφροδίτης ἐν τῷ κατὰ πῆξιν μεσουράνηματι, ἀξιωματικῷ τόπῳ ὄντι. καὶ ὁ κύριος σὺν ἀγαθοποιῷ ἀστέρι

1 ὃς V : ὁ P 2 ἱερεῖς P 3 δηλοῦσι P 5 ἐδήλει P ὁ P : ἡ V 5-6 Leg. ἡ <Ἀφροδίτη> κυρία ? 6 ἑωρᾶτο V : καὶ ὡρᾶτο P 7 ἐσχηματίσθη P 9 ὑπέστην P 11 Ἄρης ex Ἑρμῆς corr. (signis astr.) P 12 ἐδήλει P 13 οἱ δύο τόποι P : οἱ ιβ′ τόποι V; corr. ἐβλάπτετο τὸ P 16 τὸ V : τοῦ P 17 καταφυγεῖν codd., corr. 19 ἥτις V : ἤτοι P τὴν Σελήνην P ἡμέρας (signis astr.) P : ἡ cum eisdem signis V; legendum η′ <μῆνας>? 20 μῆνας η′ suppl., cf. infra v. 25 ἔτους ϛφιζ′ V : ἔτη σφι′ P Annus 1009, cuius indictio est 7 20-21 ἀπριλλίῳ codd. 23 ἀπελύθην P : ἀπελυθ′ V 24 τῶν οὖν η′ ἐτῶν codd., corr. 25 εἰς V : εἰ P. 26 ἡμέρα η ιη′ P 29 τοῦ ἔτους V : ἔτος P σκόπει P 31 ἀποφαίνου P αὐτοῦ om. P 32 εἰς τὸ κ. π. μεσουράνημα codd., corr. 33 ἀξιωματικὸς τόπος ἐστὶν P

εὑρεθεὶς ἐξουσιαστικὴν ἀρχὴν ἐδωρήσατο τῷ ἔτει ἐκείνῳ. ἠγαθύνετο γὰρ τὸ ἐτήσιον ζῴδιον καὶ κατὰ πῆξιν ὑπὸ Διός.

Δεῖ δὲ καὶ τοὺς κυρίους τῶν ιβ′ τόπων ὁμοίως σκοπεῖν κατὰ πάροδον· οἷον ὁ δ′ τόπος ὁ περὶ ἀκινήτων Ταύρῳ, ὁ κύριος Ἄρης εὑρέθη κατὰ πάροδον Καρκίνῳ ταπεινούμενος καὶ κακοδαιμονῶν καὶ ἐγένετο πτῶσις τῶν κτισμάτων ἐκ πυρὸς καὶ σεισμοῦ περὶ τὸν Νοέμβριον μῆνα, ὅτε ἦλθεν Ἄρης Ταύρῳ.

Ἰστέον ὅτι τὸ ζῴδιον τοῦ ἐνιαυτοῦ ἐν τοῖς δυσὶ τόποις δεῖ ὁρᾶν τῇ γενέσει καὶ τῇ ἀντιγενέσει, καὶ ἀμφοτέρων τῶν τόπων τὰ ἀποτελέσματα λέγειν.

Pergit disserens scriptor Byzantinus de eisdem usque ad f. 76, sed nullum aliud exemplum e tempore suo petitum profert; f. 75ᵛ Vettius Valens nominatur : Κατὰ δὲ Οὐάλεντα ἀπὸ μὲν κλήρου Τύχης τὰ σωματικά, ἀπὸ δὲ Ἡλίου τὰ περὶ πράξεως καὶ ἀξιώματος.

F. 76. σκ′. Περὶ † μηνῶν, ἐτῶν καὶ μηνῶν θ′ τοῦ Ἡλίου καὶ διάφορα σχήματα Οὐάλεντος εἰς τὸ περὶ χρόνων διαιρέσεως [1].

Οὐάλης τὰ μὲν περὶ τοῦ σώματος, οἷον κάλλους, ἡδονῆς, ῥώσεως, τέρψεως, ἐπαφροδισίας, νόσου, καὶ πάντων τῶν σωματικῶν συμπτωμάτων καὶ τῆς διὰ χειρὸς τέχνης (εἰσὶ γὰρ καὶ ἀπὸ λόγου καὶ ἐπιστήμης τέχναι, αἳ τῷ Δαίμονι ἀνάκεινται) τὰ οὖν εἰρημένα πάντα ἀπὸ κλήρου Τύχης στοχάζεται, τὰ δὲ περὶ πράξεως καὶ ἀπραξίας καὶ δόξης καὶ ἀδοξίας καὶ τιμῆς καὶ ἀτιμίας καὶ τῶν λοιπῶν ὅσα τῇ ψυχῇ τὴν χαρὰν ἢ τὴν λύπην ἐπάγει ἀπὸ τοῦ Δαίμονος συνορᾷ. καὶ χρὴ ἐν τοῖς τούτων ἐπιμερισμοῖς προειδέναι τὴν ὑπόστασιν τῆς γενέσεως, εἴτε πανευδαίμων ἐστὶν ἢ μέση ἢ μετρία· ταῦτα δὲ ὅρα κατὰ τὰ ἀποτελέσματα τοῦ

2 πῆξιν ἵν' ὑπὸ P 4 Ταύρῳ P : Σκορπίῳ V 6 κτημάτων codd., corr, 7 Ταύρῳ P : Σκορπίῳ V

P(arisinus 10); V(enetus 7); f. 173, c. σλ′. Titulus corruptus, nam de mensibus et annis non agitur in hoc capitulo 15 Legendum ἐτῶν ι′ καὶ μηνῶν θ′ ? Cf. Val., p. 252, 9 ss. Kroll. θ′ manu 2 in P 18 Cf. Valentem., IV, 4, p. 160, 13 Kroll. καλλονῆς Val. 20 λόγου P : κλήρου V Cf. Val. 166, 14 22 Cf. Val., p. 160, 18 στοχαστέον V : στοιχ′ P; corr. 23 τὴν ψυχὴν τῇ χαρᾷ P 24 συνορᾷ P : συνορᾶν V 26 μετρία V : μέτρους P ὁρᾶν V

[1] Post hoc capitulum excerptum Rhetorii (editum *Cat.* II, p. 212) in codicibus invenitur. Itaque quae de Valente profert excerptor Byzantinus, revera ex Rhetorio habuisse crediderim, qui Valentem hic sicut saepius laudabat.

περὶ εὐτυχίας λόγου τοῦ Οὐάλεντος, οἷον τὰ φῶτα καὶ τοὺς τριγωνοκράτορας. οὗτοι ἐπίκεντροι ὄντες καὶ ἰδιοθρονοῦντες καὶ μάλιστα τὰ φῶτα δορυφορούμενα ὑπὸ συναιρετῶν, κακοποιοῦ μὴ μαρτυροῦντος τοῦ τε κλήρου τῆς Τύχης καὶ Δαίμονος καὶ τῆς βασιλείας καὶ τῶν κυρίων αὐτῶν καλῶς πεσόντων καὶ ἐν τοῖς κέντροις, πανευδαίμων ἐστὶν ἡ γένεσις· ἐν δὲ ταῖς ἐπαναφοραῖς ἧττον εὐδαίμων, ἐν δὲ τοῖς ἀποκλίμασι, πενιχρά. εἰ οὖν ὁ ἀπὸ τοῦ Δαίμονος μερισμὸς φθάσει εἰς τὴν Τύχην ἢ εἰς τὸ μεσουράνημα τῆς Τύχης, συμπαρόντος τοῦ κυρίου κατὰ πάροδον ἢ μαρτυροῦντος τῷ τόπῳ καὶ ὑπὸ ἀγαθοποιῶν καὶ τῶν φώτων μαρτυρουμένου κατὰ πάροδον, * εἰ δέ κατὰ πῆξιν, κρεῖττον, λαμπρᾶς μὲν οὔσης τῆς ὑποστάσεως ἡγεμονεύσει καὶ δοξασθήσεται κατ' ἐκεῖνον τὸν χρόνον, καὶ ἐπίσημος πάνυ ἔσται καὶ ὑπὸ πολλῶν μακαριζόμενος διὰ τὴν εὐδαιμονίαν. εἰ δέ ἐπὶ τοῦ ὡροσκόπου ἢ <τοῦ> μεσουρανήματος ἢ τῶν λοιπῶν δύο κέντρων ἔλθῃ ἡ διαίρεσις, δοξασθήσεται μέν, ἧττον δέ. εἰ δὲ τούτων οὕτως ἐχόντων μετρία ὑπόστασις ἐστί, ἐξ ἧς μετέρχεται πράξεως, ὠφεληθήσεται, ἢ ἐκ μειζόνων προσώπων ἢ φίλων εὐεργεσιῶν καὶ δωρεῶν ἀξιωθήσεται, ἐὰν μάλιστα ἀγαθοποιοὶ ἔπωσιν ἢ μαρτυρῶσιν. ἐὰν δὲ κακοποιοὶ μαρτυρῶσιν, τὰ μὲν τῶν τόπων γενήσεται προφανῆ, διὰ δὲ τὴν τῶν κακοποιῶν μαρτυρίαν ἐναντίωμασι καὶ ζημίαις περιτραπήσεται. καὶ ἀπαράμονον ἕξει τὴν τοῦ ἀγαθοῦ ἀφορμήν. εἰ δέ φθάσει ὁ ἀπὸ τῆς τύχης μερισμὸς εἰς κέντρον καὶ ὁ τούτου κύριος εἰς κέντρον ἐστίν, ὑπὸ Κρόνου ἢ Ἄρεως ὁριώμενος, ἐν ἀσθενείαις ἐτασθήσονται τότε ἢ κινδύνοις τισί.

Πάντοτε τὸν κύριον τῆς ἡμέρας σκοπεῖν δεῖ πρὸς τίνας τὴν ἐπέμβασιν ποιεῖται κατὰ σῶμα ἢ σχῆμα, καὶ τίς τοῦτον ὁρᾷ κατὰ πάροδον, καὶ τὸ τῆς ἡμέρας ζῴδιον πῶς ἔχει πρὸς τὸν κύριον αὐτοῦ. ἀπόστροφος γὰρ τούτου τυχὼν ἢ διάμετρος, ἐναντία σημαίνει. καὶ δεῖ ὁρᾶν, εἰ οὕτως ἔχει, εἰς ποῖον τόπον πέπτωκε τὸ ζῴδιον καὶ ὁ τούτου κύριος καὶ οὕτως καταστοχαστέον. ἔστω γὰρ τὸ τῆς ἡμέρας ζῴδιον ἐν τῷ γ' τόπῳ, καὶ ὁ κύριος τῆς ἡμέρας εὑρέθη διάμετρος ἐν τῷ θ' τόπῳ, καὶ λέ(γε) ὅτι πρὸς τοὺς φίλους καὶ τοὺς συγγενεῖς ἡ ἡμέρα εὑρεθήσεται ἐναντία, μάλιστα καὶ τῆς Σελήνης εὑρισκομένης τότε ἀποστρόφου

1 εὐτυχίου P 4 τῷ τε κλήρῳ V 5 τῷ κέντρῳ V πανευδαίμων] Cf. Val., p. 123, 28. 7 πενιχρά] Cf. Val., 166, 18 7 ss. Cf. Valentem, IV, 8, p. 166, 25 ss. 9 μαρτυροῦντος V : μ(εσου)ρ(ανοῦντος) compendio P ἀγαθοποιοῦ V 10 Lacunam sign. Delatte 11 μὲν omis. V 12 ἐστι P 13 ss. = Val., p. 165, 32 ss. τοῦ suppl. 14 δύο V : β' P 16 ἐστὶ V : ἢ P ἐξ ἧς P : ἐξῆς V 17 ἐὰν V : εἰ P 18 ἐὰν V : εἰ P 18 ss. = Valens, p. 167, 3 ss. 20 παράμονον V 21 φθάσει V : φθόνον P 23 ἐτασθήσονται vix sanum 25 τὴν omis. P 28 τού(του τυ)χὼν] τοῦ et τυ superscr. P 29 τούτου omis. P 30 οὕτως P : τούτους V 31 καὶ (prius) omis. V 32-33 ὁ signum diei εὑρέθην ἐναντι' P

πρὸς τὸ ζῴδιον τῆς ἡμέρας ἢ διαμέτρου. εἰ δὲ τὸ ζῴδιον τῆς ἡμέρας ὁρᾷ τὸν κλῆρον τῆς Τύχης ἢ ὁ κύ(ριος) αὐτοῦ καὶ μᾶλλον εἰ ὁ οἰκοδεσπότης τοῦ κλήρου, καὶ ζημίας ἐρεῖς.

F. 135v. τμδ'. Ἄλλως περὶ ἀγγελιῶν.

Γράμματα ἡδέα καὶ ἀγγελίαι κομισθήσονται Σελήνης ἐν τοῖς ἀγγελτικοῖς σὺν Ἑρμῇ τυχούσης ἐπιβλεπομένης ὑπ' αὐτοῦ τε καὶ τῶν ἀγαθοποιῶν· κακοποιῶν γὰρ τὸ σχῆμα λαβόντων ταρακτικὰ ἔσονται <τὰ> εἰς γνῶσιν ἐλθόντα· καὶ Ἑρμῆς δὲ ἐν τοῖς προειρημένοις ζῳδίοις ἀνατείλας ὑπὸ καλῆς μαρτυρίας, τὰ αὐτὰ δηλώσει. ἀγγελτικὰ δέ εἰσιν ζῴδια ἐν οἷς μετὰ τῶν δύο φωστήρων καί τις τῶν ἀγαθοποιῶν τὰς ἀκτῖνας ἐπέβαλεν, ἢ * οἷς καθ' αὑτὸν ἐφέστηκε χωρὶς πονηρᾶς μαρτυρίας, ὅπερ σχῆμα Αἰγύπτιοι σκηπτρισμὸν καλοῦσι. καὶ οἱ ἀγαθοποιοὶ δὲ ἐπὶ τοὺς φωστῆρας εἰσερχόμενοι καὶ μᾶλλον ἐπίκεντροι ἢ εἰς τὰ τετράγωνα τούτων ἢ διάμετρα, συμμαρτυροῦντος Ἑρμοῦ καθαροῦ καὶ ἐλευθέρου ὄντος τῆς μαρτυρίας τῶν κακοποιῶν, καλῶν εἰσὶν ἄγγελοι καὶ ξενιτείας ἀγαθῆς παραίτιοι. τινὲς δὲ προστιθέασιν ὅτι οἱ φωστῆρες ἀκούοντα ἐπιπορευόμενοι ζῴδια ἀκούειν τι περὶ ἀποδήμων ποιοῦσι, τὰ δὲ ἐπιβλέποντα βλέπειν· ἔστι δὲ βλέποντα τὰ ἴσον τῶν τροπικῶν ἀπέχοντα, ἀκούοντα δὲ τὰ ἴσον τῶν ἰσημερινῶν ἀπέχοντα.

F. 138. τνγ'. Ἀποτελέσματα ὁρίων Κριτοδήμου[1].

Κριοῦ ἀπὸ πρώτης μοίρας ἕως ἕκτης ὅρια Διός· δίαρμα καὶ προκοπαὶ ἀπὸ ταπεινῶν εἰς μείζονα· τινὲς δὲ καὶ ἐν ὄχλοις εὐδοξοῦσιν ἢ καὶ

2 ὁ omis. P Leg. τὸν κύριον αὐτοῦ ? 2-3 οἰκοδεσπότης (οἱ superscr., m. 1) P **P**(arisinus 10), f. 135v; **R**(omanus 20 [= Vatic. 1056]), f. 114v 4 Ἄλλο περὶ ἀγγελίας R 6-7 ἐπιβλεπομένη (η e corr.) ὑπὸ ἀγαθοποιοῦ καὶ αὐτοῦ τοῦ Ἑρμῆ (sic) R 7 κακοποιὸν P 8 τὰ suppl. ἐλθόντων P 9-10 δὲ ζῴδια ἐν οἷς μετὰ τῶν R : δὲ εἰσιν ἐν ἀνθρωποι (sic) ζῴδια μετὰ τῶν P 10 τις corr. : τινος codd. 11 ἐπέβαλλεν P Ante οἷς lac. VII litt., ubi η tantum sine accentu scriptum P 11 αὐτὸν R 12 σκηπτρησμὸν P 13 ἐρχόμενοι R 14 μαρτυροῦντος P 16 δὲ om. P 17 ἀκούοντε (sic) ἐπιπορευόμενα P 18 ποιεῖ R βλέπει P 19 τροπικῶν] οπικῶν abscissum P 19 ἴσα τῶν εἰς ἡμερινὸν R 20 ἀπέχοντα omis. P **P**(arisinus 10); **V**(enetus 5), f. 204v, c. η'; **R**(omanus 2 = Angelicus 29), f. 184v, c. ρνε', usque ad p. 259, 3 21 Κριτοδάμους R 22 πρώτης] α' P 22-23 προκοπαὶ καὶ codd.; transp. 23 ἢ om. R

[1] De Critodemo cf. quae *Cat.* VIII, 3, p. 102 adnotavimus, ubi summarium quoque opusculi cuiusdam eius invenies. — Celeberrimum astrologum auctorem nominant saeculo II Vettius Valens qui « Visionem » (Ὅρασις) eius et expilavit et vituperavit (cf. ed. Kroll, p. 374), saeculo IV Hephaestio Thebanus (*Cat.* VIII, 2 pp. 64 s.), saeculo VI Rhetorius Aegyptius (*Cat.* VIII, 4, p. 199, cf. p. 270). Attamen mirum est hoc veterrimi astrologi excerptum de finibus in codice Veneto et in

διπολῖται γίνονται. ἀπὸ μοίρας ζ' ἕως ιβ' ὅρια Ἀφροδίτης· ἔρως, φιλία καὶ συμπλοκαὶ πρὸς ὑπερεχούσας γυναῖκας. ἀπὸ μοίρας ιγ' ἕως κ' ὅρια Ἑρμοῦ· εὐτροφία, φιλοπονία, εὐδοξία, προκοπαί. ἀπὸ μοίρας κα' ἕως κε' ὅρια Ἄρεως· ἄκρα ἔκπτωσις, ἐξορισμοί, κατάκρισις, φυγή, μοιχεῖαι, σίνη καὶ ἄπρακτοι περιπλοκαί. ἀπὸ μοίρας κϛ' ἕως λ' ὅρια Κρόνου· διπρόσωποι, ἐπίτροποι, ἐπὶ κριτηρίων, ἔνιοι δὲ παιδευταί, οἱ δὲ καὶ ἐν ὅροις τάσσονται.

Ταύρου ἀπὸ μοίρας α' ἕως η' ὅρια Ἀφροδίτης· ἔρως, φιλοκαθάριοι, εὔμουσοι, ἐπιχαρεῖς. ἀπὸ μοίρας θ' ἕως ιδ' ὅρια Ἑρμοῦ· εἰρήνη, ἡγεμονία, ἀρχοντικοὶ ἢ ἐπίτροποι. ἀπὸ μοίρας ιε' ἕως κβ' ὅρια Διός· καλλονή, εὐδοξία, πρόθεσις, προκοπαὶ ἀνέλπιστοι, οὐ φιλίαι πολλαί. ἀπὸ μοίρας κγ' ἕως κζ' ὅρια Κρόνου· λύσεις, ἀνέσεις πάντων, συνεχεῖς ἀπολαύσεις, ἐλάττωσις ὑπάρχοντων. ἀπὸ μοίρας κη' ἕως λ' ὅρια Ἄρεως· βιαιοθάνατοι, λησταί, ἅρπαγες, κατάκριτοι, τινὲς καὶ σινούμενοι.

Διδύμων ἀπὸ μοίρας πρώτης ἕως ἕκτης ὅρια Ἑρμοῦ· γαλήνη, ἐνστάσεις, ἡσυχίαι. ἀπὸ μοίρας ζ' ἕως ιβ' ὅρια Διός· εὐεργεσία, εὐεργετοῦσι καὶ εὐεργετοῦνται καὶ ἐπὶ προκοπαῖς γίνονται. ἀπὸ μοίρας ιγ' ἕως ιζ' ὅρια Ἀφροδίτης· ἄνθος, εὐμορφία, εὐτυχία ἐξ ἀνελπίστων. ἀπὸ μοίρας ιη' ἕως κδ' ὅρια Ἑρμοῦ· δύναμις, ἐξουσία ἡγεμονική, προκοπαί. ἀπὸ μοίρας κε' ἕως λ' ὅρια Κρόνου· ὑποταγή, ὀρφανία, δεσμοί, στρατιὰ ἄδοξος, καθαίρεσις ἀξίας.

Καρκίνου ἀπὸ πρώτης μοίρας ἕως ζ' ὅρια Ἄρεως· κινήσεις, ταραχαί, ἔχθραι, ἀντιπολιτεῖαι, κίνδυνοι, ἐξορισμοί. ἀπὸ μοίρας η' ἕως

1 διπολῖται sic P; cf. Manetho, 5, 291 : πολῖται VR 2 ιγ' VR : γ' P 3-5 ἀπὸ μοίρας κα' — περίπλοκαι add. in marg. m. 1 R 4 ἔπτωσις P ἐξορισμοί scripsi; cf. v. 24 : ἐξορκισμοί P : διορισμοί VR 6 διπροσωπία P' ἔνι δὲ πεδεταί P οἱ VR : εἰ P 7 τάσσονται] Cf. p. 260, 18 — Post τάσσονται signum Arietis P 8 φιλοκαθάριοι] Cf. Valentem, I, 1, p. 3, 24 Kroll. 9 ιθ' in ιδ' corr. P 9-10 ἡγεμόνες P 11 προκοπὴ ἀνέλπιστος V : προκοπαὶ ἀνέλπισται sic PR φίλοι πολλοί RV 13 κη' scripsi : κβ' P : κζ' VR 14 βιαιοθάνατοι scripsi ; cf. *Cat.* VIII, 4, p. 199, 17 ss. : βιόθανοι VR : βιαιοθάνων P. Cf. infra p. 260, 26 κατάκριτοι P : κράτιστοι RV τινὲς om. VR 16 πρώτης] αης V : μιᾶς P 17 ἐνστάσεις ἡσυχίαι P : καὶ στάσις ἥσυχος V : καὶ στάσις ἡσύχιος R εὐεργεσίας VR 17-18 εὐεργετοῦνται καὶ εὐεργετοῦσι transp. P 17 εὐεργετοῦσι add. in mrg. R 18 προκοπῶν V : προκοπῆς R 20 προκοπὴ P 21 ὑποταγὴ P : ὑπαγωγὴ VR fort. recte 21-22 στρατεία R ; cf. p. 259, 28 24 ταραχαὶ VR : τοῦ lac. 1 V l. καὶ P

codice Romano ut capitulum operis Achmetis Persae praeberi, ita ut illud ex Arabica vel Persica lingua in Graecam conversum esse suspicari possimus. In Parisino autem inter fragmenta Palchi invenitur et sermo eius non Byzantini interpretis esse videtur sed antiquitatem sapit : immo verba eius aetati conveniunt quo civitates Graecae florebant (p. 258, 1 : διπολῖται; p. 258, 24 ἀντιπολιτεῖαι, cf. Vett. Val., p. 16, 16; 107, 25) et in templis certamina sacra celebrabantur (p. 259, 12, p. 260, 24, ἱερονῖκαι : cf. p. 259, 4; Val. p. 75, 8) et ludi gymnici fiebant (p. 259, 7, φιλοπάλαιστροι).

ιγ' ὅρια Ἀφροδίτης· ἐπιθυμητικοί, φιλοκαθάριοι. ἀπὸ μοίρας ιδ' ἕως ιθ' ὅρια Ἑρμοῦ· συγκράσεις, φιλίαι ὑπερεχόντων· τινὲς δὲ καὶ φιλόλογοι· ἀπὸ μοίρας κ' ἕως κϛ' ὅρια Διός· ὅρος ζωῆς, εὐεργετικοί, φιλότροφοι, φιλοκτίσται· τινὲς δὲ καὶ θεῷ τὰ ἑαυτῶν ἀνατιθέντες. ἀπὸ μοίρας κζ' ἕως λ' ὅρια Κρόνου· ἀνωμαλίαι, ἄστατοι, μὴ μένοντες ἐπὶ τῆς ἀξίας, πολύβουλοι, πολυκίνητοι.

Λέοντος ἀπὸ μοίρας πρώτης ἕως ϛ' ὅρια Διός· ἀνάβασις, προκοπαὶ ἀπὸ μικρᾶς τύχης, φιλίαι πρὸς ὑπερέχοντας. ἀπὸ μοίρας ζ' ἕως ια' ὅρια Ἀφροδίτης· εὐτυχίαι, προκοπαί, φιλίαι πρὸς ὑπερέχοντας. ἀπὸ μοίρας ιβ' ἕως ιη' ὅρια Κρόνου, μῆκος, πολυετεῖς, κατεψυγμένοι τοῖς σώμασι καὶ ταῖς διανοίαις. ἀπὸ μοίρας ιθ' ἕως κδ' ὅρια Ἑρμοῦ λόγος, τιμαὶ ἕνεκεν παιδείας, ἱερονῖκαι. ἀπὸ μοίρας κε' ἕως λ' ὅρια Ἄρεως· μόχθος, ἀτυχίαι, κακοπάθειαι· τινὲς δὲ καὶ σωματικῶς κινδυνεύσουσι περὶ τὰ ἄκρα.

Παρθένου ἀπὸ πρώτης μοίρας ἕως ζ' ὅρια Ἑρμοῦ· ἀκρίβεια, φιλοσοφία, γεωμετρία, ῥήτορες ἀστρόλογοι, οἱ ἀπὸ παιδείας ζῶντες. ἀπὸ μοίρας η' ἕως ιζ' ὅρια Ἀφροδίτης· ἀθλιψία, εὐφροσύνη καὶ ἀμεριμνία· ἀπὸ μοίρας ιη' ἕως κα' ὅρια Διός· ὄνομα ἔνδοξον, προκοπαί, φιλίαι, ὀχλῶν ἀφηγοῦνται, ἐπίσημοι. ἀπὸ μοίρας κβ' ἕως κη' ὅρια Ἄρεως· φῶς, λαμπροὶ στρατιωτικοὶ ἢ ἐπὶ κριτηρίων. ἀπὸ μοίρας κθ' ἕως λ' ὅρια Κρόνου· ὑψοταπείνωμα τῇ ἀξίᾳ, καὶ κινδυνεύσουσιν.

Ζυγοῦ ἀπὸ πρώτης μοίρας ἕως ϛ' ὅρια Κρόνου· ἀφαίρεσις στερτομένων προσώπων, ἀπώλεια καὶ καθαίρεσις ὑπαρχόντων. ἀπὸ μοίρας ζ' ἕως ιδ' ὅρια Ἑρμοῦ· ἔργον, πολύτεχνος, πολυάδελφος. ἀπὸ μοίρας ιε' ἕως κα' ὅρια Διός· μερισμοί, κληρονομίαι καὶ χώρας δόσεις. ἀπὸ μοίρας κβ' ἕως κη' ὅροι Ἀφροδίτης· τροφή, φιλοκαθάριοι, εὐεργετικοί, μεμουσωμένα καὶ καθάρια τρέφουσιν, φιλοπάλαιστροι καὶ φιλοκύνηγοι. ἀπὸ μοίρας κθ' ἕως λ' ὅρια Ἄρεως· ἰσχύς, ἡγούμενοι, αἱ στρατιαὶ ἔνδοξοι καὶ ὑπεραύξησις.

Σκορπίου ἀπὸ πρώτης μοίρας ἕως ζ' ὅρια Ἄρεως· προσθέσεις

1 ἐπιθυμία φιλοκαθάρ(ιοι) ἐπιθυμητικοί P 2 Ἑρμοῦ] signum Martis P 3 ἀπὸ] Hic abrumpitur sermo in imo f. 184ᵛ R, ubi cetera desunt κ'] η' codd. 6 πολλύβουλοι πολλυκίνητοι V 7 πρώτης om. P ϛ' om. P 8 προκοπή P φιλίαι πρὸς ὑπερέχοντας omis. P, fort. recte, cf. v. 9 10 πολυετής P : πολλυετεῖς V 10 κατεψηγμένη P; cf. Val., p. 11, 11. 11 ιθ' V : θ' P 12 λόγων V ἱερονικῶν V 13 ἀτυχίαι om. P κακοπάθεια P 13-14 κινδυνεύουσι P; cf. v. 21 18 προκοπαί omis. V 20 ἐπὶ κριτηρίων] Cf. supra p. 258, 6 21 ὑποταπείνωμα scripsi; cf. Valentis indicem : ἡψωταπεινώματι V : ὕψωμα ταπείνωμα P 24 ἔργον omis. V 25 δόσεις P : δόσις V 27 Leg. μεμουσωμένοι? καθάρια V : καθάρως P Cf. Valentem, p. 201, 27 : φιλοκυνήγους ἢ φιλοπαλαίστρους in capitulo quod fortasse ex Critodemo hausit. 28 Signum Mercurii codd. : Ἄρεως corr.

ἀλλοτρίων, ἁρπαγαί, καὶ ἐκ τούτων διάκρισις· ἀπὸ μοίρας η′ ἕως ια ὅρια Ἀφροδίτης· τύχη, προκόπτουσι δι' ἄλλων ἀνελπίστως. ἀπὸ μοίρας ιβ′ ἕως <ιθ′> ὅρια Ἑρμοῦ· μονή, ἐπίτροποι γίνονται καὶ διοικηταί. ἀπὸ μοίρας κ′ ἕως κδ′ ὅρια Διός· αὔξησις, πρόβασις ἐπὶ τὸ μεῖζον, κληρονομίαι κτημάτων κυριωτέρων καὶ προκοπαί. ἀπὸ μοίρας κε′ ἕως λ′ ὅρια Κρόνου· ἀνάγκη, συνοχή, † κωμοτροφία, τινὲς δὲ καὶ τῶν σπορίμων στεροῦνται.

Τοξότου ἀπὸ πρώτης μοίρας ἕως ιβ′ ὅρια Διός· δυνάμεις, ἡγεμόνας, κυρίους ποιεῖ ζωῆς καὶ θανάτου, ἀκαταπλήκτους, βασιλικούς. ἀπὸ μοίρας ιγ′ ἕως ιζ′ ὅρια Ἀφροδίτης· ῥύσις, ἀδημονία, τινὲς δὲ κατωφερεῖς. ἀπὸ μοίρας ιη′ ἕως κα′ ὅρια Ἑρμοῦ· πράξεις ἐπίσημοι, φιλόλογοι ῥᾴθυμοι, εὐφυεῖς. ἀπὸ μοίρας κβ′ ἕως κϛ′ ὅρια Κρόνου· εὐψυχία. ἀπὸ μοίρας κζ′ ἕως λ′ ὅρια Ἄρεως· ξενιτεία, μετάπτωσις, ἐξορισμός.

Αἰγόκερω ἀπὸ α′ μοίρας ἕως ζ′ ὅρια Ἑρμοῦ· γένεσις στομαχική, καθάριοι, ὀλιγότροφοι. ἀπὸ μοίρας η′ ἕως ιδ′ ὅρια Διός· κράτησις συντηρητική, εὐσχήμονες βίου. ἀπὸ μοίρας ιε′ ἕως κβ′ ὅρια Ἀφροδίτης· ἡδυπάθεια, κατωφέρεια. ἀπὸ μοίρας κγ′ ἕως κϛ′ ὅρια Κρόνου· ἐπίκλησις, ὑπὸ ἐξουσίας τάσσονται, τινὲς δὲ καὶ γένους μετέχουσι, τραχεῖς, ἀνυπόστολοι, αὐθεντικοί, δίκας κινοῦντες. ἀπὸ μοίρας κζ′ ἕως λ′ ὅρια Ἄρεως· κρύψεις, φυγαί, δεσμοί, φυλακαί, ἐξορισμοί.

Ὑδροχόου ἀπὸ πρώτης μοίρας ἕως ζ′ ὅρια Ἑρμοῦ· ἐγκράτεια, ἐμφιλόσοφοι τῷ ἤθει. ἀπὸ μοίρας η′ ἕως ιγ′ ὅρια Ἀφροδίτης· πρόνοια, ἐπίτροποι μεγάλων γυναικῶν. ἀπὸ μοίρας ιδ′ ἕως κ′ ὅρια Διός. νίκη, ἐπίσημοι, λαμπροὶ ταῖς τύχαις ἐκ κακοπαθειῶν, τινὲς καὶ ἱερονῖκαι. ἀπὸ μοίρας κα′ ἕως κε′ ὅρια Ἄρεως· ἀπαγωγὴ ἀπὸ ἐξουσίας, αἰχμάλωτοι ἢ βιοθάνατοι, τινὲς δὲ καὶ σινοῦνται. ἀπὸ μοίρας κϛ′ ἕως λ′ ὅρια Κρόνου· ἀνατροφή, ἔκπτωσις ἐπὶ νεότητος.

Ἰχθύων ἀπὸ α′ μοίρας ἕως ιβ′ ὅρια Ἀφροδίτης· φθόνος, πολλοὺς ἔχθρους ἔχουσιν. ἀπὸ μοίρας ιγ′ ἕως ιϛ′ ὅρια Διός· προκοπή, λαμπρούς, ἡγεμονικούς. ἀπὸ μοίρας ιζ′ ἕως ιθ′ ὅρια Ἑρμοῦ· σύνεσις, εὐφυεῖς, ῥαθυμοτάτους. ἀπὸ μοίρας κ′ ἕως κη′ ὅρια Ἄρεως· πλεονασμός,

1-3 ἀπὸ μοίρας η′ — διοικηταί omis. V spatio vacuo trium versuum relicto 3 ιθ′ suppl. μονή scripsi : μονῆ cod. De monasterio cogitabat librarius 4 κ′ scripsi : κε′ P : omis. V πρόσβασις codd.; corr. 5 κυριώτερον P κωμοτροφία corruptum. Leg. καὶ ὠμοτοκία ? κουροτροφία coni. Delatte 10 ιζ′ P : η′ V ῥύσις P : ῥήσεις V ἀδημονίαι V κατωφέρης = *pronus ad libidinem*, cf. Vettii Val. indicem. 11 ιη′ P : ιθ′ V 12 ῥᾴθυμοι omis. V ἀψυχία V fors. recte 14 γενέσεις στομαχικαί V; cf. Plut. II, 732 A. 15 ιδ′ V : ιη′ P 17 ἡδυπάθειαι κατωφέρειαι P; cf. ad v. 10 17-18 ἐπίκλισις P 18 τάττονται V 18-19 τάχεις P 20 φυλακή P 21 ἐγκρατεῖς P 22 προνοίας codd. 24 ἐπίσημος P καὶ ἱερονῖκαι om. V 25 ἐπαγωγή V 27 Leg. ἀνατροπή ? 29 προσκοπή codd. Subaudiendum ποιεῖ hic et p. 261, 2, cf. v. 9. 30-31 σύνεσις — ῥαθυμοτάτους om. V spatio dimidii versus relicto

πλεονεξία, ἅρπαγες, ληστρικοί, φονικοί, δίκας πολλὰς ἔχουσιν. ἀπὸ μοίρας κθ′ ἕως λ′ ὅρια Κρόνου· ἐναρέτους, σοφοὺς καὶ ἀρχικούς.

F. 139ᵛ. τνε′. <Πάλχου> περὶ τροπῆς ἔαρος.

Σκόπει τὴν ἐαρινὴν τροπήν, ὅταν ὁ Ἥλιος εἰσέρχεται ἐντὸς τοῦ Κριοῦ ζῳδίου ἐν πρώτῳ λεπτῷ, ψηφίσας ἀκριβῶς τοὺς ἀστέρας κατ' αὐτὴν τὴν ὥραν, καὶ στήσας τὰ τέσσαρα κέντρα καὶ τὰς τούτων ἐπαναφορὰς καὶ τὰ τούτων ἀποκλίματα, ψηφίσας δὲ καὶ τὴν προγενομένην σύνοδον ἢ πανσέληνον καὶ τὸν οἰκοδεσπότην τοῦ εὑρισκομένου ἀφέτου, καθὰ προείρηται, καὶ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν οἰκοδεσπότην τῆς προγενομένης συνόδου ἢ πανσελήνου καὶ τὸν κύριον τοῦ δεκανοῦ καὶ τοὺς τριγωνικοὺς δεσπότας τῆς αἱρέσεως (ἤτοι ἡμέρας μὲν τοὺς τοῦ Ἡλίου λάμβανε, νυκτὸς δὲ τοὺς τῆς Σελήνης) πῶς ἑστήκασι κατὰ τὴν ὥραν ἐν ᾗ ἐγένετο <ἡ> ἰσημερία, ἐν πυρώδεσι ζῳδίοις ἢ ἐν γηΐνοις ἢ ἐν ἀερώδεσι ἢ ἐν ὑδατώδεσι· καὶ ὅπου δ' ἂν εὕρῃς αὐτοὺς ἐν τοῖς προειρημένοις τόποις, εἴτε ἐκκέντρους, εἴτε ἐπαναφερομένους, τοιοῦτον τὸ ἔτος ἀποφαίνου. ἐὰν μὲν γὰρ εὕρῃς τοὺς προειρημένους οἰκοδεσπότας ε′, ἤτοι τὸν ἀφέτην τοῦ ὡρ(οσκόπου) καὶ τῆς Σελήνης καὶ τῆς προγενομένης συνόδου ἢ πανσελήνου καὶ τὸν κύριον τοῦ δεκανοῦ καὶ τὸν τριγωνικὸν δεσπότην τῆς αἱρέσεως ἐν ὑδατώδεσι ζῳδίοις, λέγε εἶναι ὑετὸν καὶ πλησμονὴν ὑδάτων. εἰ δὲ εὕρῃς τοὺς μὲν ἐν πυρώδεσι, τοὺς δὲ ἐν ὑδατώδεσι, σκόπει τίνες αὐτῶν εἰσιν ἐνδυναμώτεροι. καὶ οἷον ἂν εὕρῃς ἐνδυναμώτερον, ἐκείνου τὴν κρίσιν λάμβανε. σκόπει δὲ καὶ τὴν Σελήνην κατὰ πλάτος ἐν ποίῳ ἀνέμῳ πέπτωκεν καὶ ποίῳ ζῳδίῳ, ἐν ἀνεμώδει ἢ πυρώδει ἢ γηΐνῳ ἢ καθύγρῳ, καὶ τίς αὐτὴν μαρτυρεῖ ἐκ τῶν προειρημένων, ἤγουν τῶν τριγωνικῶν δεσποτῶν τοῦ Ἡλίου ἢ τοῦ ὡροσκόπου ἢ

1 ἁρπαγαὶ ληστρικαὶ φονικαὶ V ἔχοντα P

P(arisinus 10); **V**(enetus 7), f. 305ᵛ, cap. φξη′. **R**(omanus 2 = Angelic. 29), f. 94ᵛ, c. β′ 3 ἀέρων R : ἀέρος PV; corr. 4 ἔρχεται R ἐντὸς P : ἐν τῷ VR, cf. infra p. 263, 7 5 ζωδίῳ VR α^{ω} (= πρώτῳ) R : ἑνὶ PV τοὺς ἀστέρας ἀκριβῶς transp. PV 5-6 κατὰ τὴν αυτὴν PV 6 τέσσαρα VR : δ' P 7 δὲ om. R 9 εἴρηται R 11-12 τὸν τριγωνοοικοδεσπότην P : τὸν τριγωνικὸν δεσπότην V 12 Post τοὺς] τριγωνικοὺς δεσπότας add. PV 13 κατὰ om. R 14 ᾗ suppl. Post ζῳδίοις add. εἰσὶν V γηΐνοις VR : γεώδεσι (vel — δεσι) P 15 ἀερώδεσι P ὑδατώδεσι P εὕροις V 16 εἴτε ἐκκ(έντρους) add. m. 2 in mrg. R εἴτε PV : ἢ R 17 τοιοῦτον τὸ ἔτος R : καὶ οὕτως PV ἐὰν μὲν γὰρ R : καὶ ἐὰν μὲν PV εὕροις R 18 ε′ V : ι′ P : ἐτ (i. e. ἔτους ?) R, qui ante οἰκοδ. transp. τοῦ R : τὸν PV καὶ om. PV 19 τὴν προγενομένην σύνοδον ἢ πανσέληνον PV 20 τριγωνοοικοδεσπότην P 23 ἂν om. R δυναμώτερον PV 24 ἐκεῖνον P 25 καὶ PV : ἀλλὰ R ἐν omis. R πυρίνῳ PV; cf. supra v. 14 26 γεώδει R; cf. ibid. αὐτὴν PV : αὐτῇ R, cf. p. 262, 1 27 τριγωνοοικοδεσποτῶν P

αὐτῆς τῆς Σελήνης. καὶ βλέπε πόσοι μαρτυροῦσι τὴν Σελήνην, καὶ ὅσους ἂν εὕρῃς ἐν τόπῳ ἐπισήμῳ ἑστῶτας, ἐκείνους λέγε δηλωτικοὺς εἶναι εἴτε ἀνέμων, εἴτε ἐπιρροῆς ὑδάτων, εἴτε καυμάτων, καὶ ἁπλῶς κατὰ τὴν φύσιν ἑνὸς ἑκάστου ἀποφαίνου.

Ἐὰν ἐν ἡμέρᾳ γένηται ἡ τροπή, σκόπει τοὺς τριγωνικοὺς δεσπότας τοῦ Ἡλίου, καὶ ἐὰν ἐπιβλέπῃ ὁ αὐτὸς Ἥλιος τὸν ὡροσκόπον ἢ τὴν Σελήνην, ὄντων <αὐτῶν> ἐν πυρώδεσι ζῳδίοις, λέγε εἶναι καύματα. εἰ δέ εἰσιν ἐν γεώδεσι ζῳδίοις ἤτοι ὁ ὡροσκόπος ἢ ἡ Σελήνη, εὐκρασίας ἀέρων εἰσὶ δηλωτικοί. εἰ δέ εἰσιν οἱ αὐτοὶ ἐν ὑδατώδεσι ζῳδίοις, ὑδάτων ἐπιρροῆς [καὶ καυμάτων] εἰσὶ δηλωτικοί. εἰ δὲ ἐν ἀερώδεσι ζῳδίοις, ἀνέμων εἰσὶ σημαντικοί.

Ὁ δεύτερος τριγωνικὸς δεσπότης τοῦ Ἡλίου, ἤγουν ὁ Ζεύς, ἐὰν ἐπιβλέπῃ τὸν Ἥλιον καὶ τὴν Σελήνην, ἐν πυρώδεσι ζῳδίοις ὄντων αὐτῶν, σημαίνει ἄνεμον εἶναι νότον· εἰ δὲ ἐν ἀερώδεσίν εἰσιν, σημαίνει ἄνεμον βορρᾶν, εἰ δέ εἰσιν ἐν παρύγροις, ἀνέμων καὶ βροχῆς εἰσι δηλωτικοί.

Ἔτι δὲ καὶ ὅτε ὁ τρίτος τριγωνικὸς δεσπότης, ἤγουν ὁ Κρόνος, ἐπιβλέπει αὐτούς, καθὰ προείρηται, ἐν πυρώδεσι ζῳδίοις ὄντων <αὐτῶν>, εὐκρασίας δηλωτικός ἐστιν· εἰ δὲ ἐν πνευματώδεσι ζῳδίοις εἰσί, σημαίνει ἄνεμον βορρᾶν. εἰ δέ εἰσιν ἐν παρύγροις, ἀνέμων καὶ βροχῆς εἰσι δηλωτικοί.

Ταῦτα περὶ τοὺς τριγωνικοὺς δεσπότας τοῦ Ἡλίου μόνον εὑρέθη. ὁμοίως καὶ ἐπὶ νυκτερινῆς <αἱρέσεως> σκόπει τοὺς τριγωνικοὺς δεσπότας τῆς Σελήνης, καθὰ καὶ ἐπὶ τοῦ Ἡλίου εἴρηται, ζήτει πάλιν τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τοῦ εὑρισκομένου ἀφέτου καὶ τὸν οἰκοδεσπότην τῆς Σελήνης καὶ τῆς προγενομένης συνόδου ἢ πανσελήνου καὶ τὸν κύριον τοῦ δεκανοῦ, καὶ βλέπε πόσοι μαρτυροῦσι τοὺς

2 ἐπὶ τόπων ἐπισήμων ἱσταμένους R 2-3 δηλωτὰς ἦν P 3 εἴτε (primum) PV : τῶν R 3 ἐπιροῆς V : ἐπὶ ροῆς P εἴτε PV : ἢ R 5 ἐν PV : οὖν R τριγωνοοικοδεσπότας P 7 ὄντων αὐτῶν scripsi, cf. v. 13 : ὄντων V : ὄντας R : ὄντα P πυρώδει ζωδίῳ P : πυρίνῳ ζωδίῳ V Post ζῳδίοις] εὐκρασίας ἀέρων εἰσὶ δηλωτικοὶ expunctum R, cf. v. 8-9 καύματα PV : καῦστα sic R 7-8 ἐὰν δὲ ὦσιν R 8 ὁ τε ὡροσκόπος καὶ ἡ Σελήνη ἐν γεώδεσι ζῳδίοις R ὁ omis. P 9 δηλωτικοὶ VR : δηλωτικὰ P εἰ PV : οἱ R 10 ἐπιροῆς V καὶ καυμάτων del.; cf. v. 7 ἀερώδεσι ζῳδίοις R : ἀνεμώδεσι sine ζῳδίοις PV 11 σημαντικαὶ P 12 τριγωνοοικοδεσπότης P 13 ἥλιον PV : ὡροσκόπον R 13-14 ὄντα ναυτῶν P 14 σημαίνει — ἀερώδεσίν εἰσιν om. P εἰσὶν om. R 15 βορρᾶν R : ψυχρὸν PV εἰσιν om. R ἀνέμου P 16 δηλωτικοὶ VR : δηλότερα P 17 τριγωνοοικοδεσπότης P 18 καθάπερ εἴρηται PV 19 αὐτῶν suppl., cf. vv. 13-14 ἐστὶ δηλωτικὸν P 20 εἰσὶ om. R βορρᾶν R : ψυχρὸν PV 21 δηλωτικὰ P 22 περὶ τὸν τριγωνικὸν δεσπότην V : περὶ τὸν τριγωνοοικοδεσπότην P : πρὸς τοὺς τριγωνικοὺς δεσπότας R 23 αἱρέσεως suppl., cf. p. 261, 12 τριγωνοοικοδεσπότας P 24 καθὼς P τοῦ om. PR καὶ ζήτει R 25 εὑρισκομένου add. m. 2 in marg. R 27 πόσοι scripsi : πῶς codd. μαρτυρῶσι P

τριγωνικοὺς δεσπότας τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἐν καλῷ τόπῳ· καὶ ὅσοι εὑρίσκονται πλείονες ἐν καλῷ τόπῳ ἑστῶτες, ἐκείνους λέγε κρείττους εἶναι· ἐὰν δὲ ἰσαρίθμους καὶ ἰσοδυνάμους εὑρήσεις αὐτούς, ἀλλὰ τὰ ἐναντία σημαίνοντας, τότε σκόπει τὸν κλῆρον τῆς Τύχης ἐν ποίῳ μέρει ἔπεσε καὶ ὑπὸ τίνος μαρτυρεῖται, καὶ πρὸς ἐκείνου τὴν κρίσιν ἀποφαίνου.

Ταῦτα μὲν ἐπὶ τῆς ἐαρινῆς τροπῆς ἐγένετο· ὁμοίως δὲ ζήτει καὶ ἐπὶ τῆς θερινῆς τροπῆς, ἤγουν ἐντὸς τοῦ πρώτου λεπτοῦ τοῦ Καρκίνου, καὶ ἐπὶ τῆς δευτέρας ἰσημερίας τῆς φθινοπωρινῆς τροπῆς ἤτοι τῆς τοῦ Ζυγοῦ, ὡσαύτως καὶ ἐπὶ τῆς χειμερινῆς τροπῆς ἤτοι τῆς ἐν τῷ Αἰγοκέρωτι. ἐπιτήρει οὖν μόνας τὰς φύσεις τῶν ζῳδίων, ἐπειδὴ οὐκ εἰσιν ἴσαι πᾶσαι αἱ τροπαί· ὁ γὰρ Κριὸς πυρώδης, ὁ δὲ Καρκίνος ὑδατώδης, ὁ δὲ Ζυγὸς ἀερώδης, ὁ δὲ Αἰγόκερως γήϊνος καὶ θαλάσσιός ἐστι· καὶ ποίησον καθὰ προείρηται.

Τινὲς δὲ σκέπτονται οὕτως· ὅταν μεταβαίνῃ ὁ Ἥλιος ἀπὸ ζῳδίου εἰς ζῴδιον ἐν τῷ πρώτῳ λεπτῷ ἑκάστου ζῳδίου, κρίνουσι καθὰ προείρηται ἐπὶ τῶν τροπῶν, ἤτοι πήξαντες τοὺς ιβ′ τόπους καὶ τοὺς πέντε ἀστέρας ἀκριβῶς καὶ τὴν προγενομένην σύνοδον ἢ πανσέληνον. καὶ ἁπλῶς καθὰ προείρηται ποιοῦσιν.

F. 142. τξλ′. Περὶ τίνος θέλει ἐρωτᾶν ἀπὸ τοῦ κλήρου τῆς Τύχης Οὐάλεντος γνῶναι τὸν πυνθανόμενον.

Χρὴ ὁρᾶν τὸν κλῆρον τῆς Τύχης κατὰ Οὐάλεντα τὸν λαμβανόμενον ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην, νυκτὸς δὲ ἀπὸ Σελήνης ἐπὶ Ἥλιον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ἐπὶ ποίου τόπου ἐκπίπτει τοῦ θέματος καὶ

1 τριγωνοοικοδεσπότας P 2 Post ὡροσκόπου] ἐν καλῷ τόπῳ om. R πλείονες om. R 3 κρείττους R : κρείττονες V : κρεῖττὸν P 4 εὑρίσκεις αὐτόν R σημαίνοντα P 5 μέρει PV : ζῳδίῳ R πρὸς om. R 6 ἐκεῖνον P 7 καὶ ταῦτα R μὲν om. PV ὁρινῆς P ἐγένετο omis. R ζήτει om. PV 8-9 ἤγουν ἐντὸς — Καρκίνου om. R (cf. supra p. 261, 5), qui post θερινῆς τροπῆς habet καὶ ἐπὶ τῶν ἄλλων ἤτοι τῆς θερινῆς τῆς δευτέρας 9 τῆς ἰσομοιρίας R : τοῖς ἰσομοιροῦσι τοῦ ζυγοῦ ἤτοι τῆς τρόπης τοῦ φθινοπώρου V : τοῦ ὑδροχόου (signo astr.) ceteris omiss. P 10-11 ἤτοι — Αἰγοκέρωτι om. PV 11 μόνον PV 12 εἰσὶν om. R ἴσον P πᾶσαι αἱ τροπαὶ ἴσαι transp. V Κριὸς R : ἀναβιβάζων (signo astr.) PV 13 ἡ δὲ παρθένος (signo astr.) P γήινος καὶ R : γῆ P : omis. V 14 ἐστι om. R 15 εἰς R : ἐπὶ PV 16 ἐν τῷ πρώτῳ — ζῳδίου add. m. 2 in mrg. R ἑκάστῳ ζωδίῳ P καὶ κρίνουσι PR 17 τροπικῶν PV πήξαντες om. R 18 πέντε] ε′ R : omis. PV καὶ (post ἀκριβῶς) om. P προγεναμένην V σύνοδον] σελήνην καὶ ἥλιον (signis astr.) V 19 προείρηται RV : ἃ εἴρηται sic P

P(arisinus 10) ; **R**(omanus 20 = Vatic. 1506), f. 64ᵛ, c. ιζ′. Titulus : Περὶ τίνος ἡ ἐρώτησις ἀπὸ τοῦ κλήρου τῆς Τύχης κατὰ Οὐάλεντα R, qui incipit Δέον ὁρᾶν κ. τ. λ. 21 Cf. Vett. Val. III, 3 (p. 59, Kroll); III, 14 (p. 155, 5 ss.) 22 κατὰ Οὐάλεντα om. P 23 ἐκπίπτει ὑπάρχει τὰς (?) θέματος P : πάρεστι τοῦ θέματος R

τίσι <συ>σχηματίζεται. καὶ ἔκ τε τῆς τοῦ τόπου ἰδιότητος καὶ τῆς φυσικῆς συγκράσεως τῶν αὐτῷ μαρτυρούντων ἀστέρων, ἔτι δὲ καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ λέγειν τὸ ἐρωτώμενον· ἐπὶ μὲν γὰρ τοῦ ὡροσκόπου ὧν δηλοῖ περὶ ζωῆς ἢ σώματος ἤ τινος τῶν ἐρωτώντων τι διαφέροντος. ἐν δὲ τῷ β' περὶ χρημάτων. ἐν δὲ τῷ γ' περὶ συγγενῶν καὶ πίστεως καὶ γνώσεως καὶ λόγου, καὶ μᾶλλον εἰ ὁ Ἑρμῆς οἰκοδεσποτεῖ τὸν τοιοῦτον τόπον. ἐν δὲ τῷ δ' περὶ γονέων ἢ γεγηρακότος τινὸς ἢ παλαιῶν πραγμάτων ἢ θησαυρῶν ἢ φυγῆς ἢ ἐναπόκλειστου καὶ μᾶλλον εἰ κυριεύει τοῦ τόπου ὁ Κρόνος ὕπαυγος τοῦ Ἡλίου ὤν. ἐν δὲ τῷ ε', περὶ τέκνων καὶ εὐφροσύνης καὶ ἱλαρότητος καὶ πραγμάτων, ἐξαιρέτως ὅταν οἰκοδεσποτῆται ὁ τοιοῦτος τόπος ὑπὸ τοῦ Ἑρμοῦ ἢ τοῦ Διὸς ἢ ὁρᾶται ὑπ' αὐτῶν συμφώνως· ἐν δὲ τῷ ϛ', περὶ δούλων ἢ κτήνους ἤ τινος παρέτου καὶ φρενολήπτου. ἐν δὲ τῷ ζ', περὶ γυναικὸς καὶ κοινωνίας καὶ πάσης δοσοληψίας καὶ μᾶλλον εἰ κυριεύει ἡ Ἀφροδίτη τοῦ αὐτοῦ τόπου. ἐν δὲ τῷ η', περὶ ζημίας καὶ ἀποβολῆς ἢ ἀνασκευῆς τινων ἀρχαίων. ἐν δὲ τῷ θ', περὶ ἀποδημίας καὶ ὀνειράτων καὶ θρησκείας. ἐν δὲ τῷ ι', περὶ δόξης καὶ ἐξουσίας καὶ ἀξιώματος καὶ πράξεως. ἐν δὲ τῷ ια', περὶ εὐτυχίας καὶ φίλων. ἐν δὲ τῷ ιβ', περὶ φρουρᾶς ἢ τετραπόδων. ὁρώμενος δὲ ὁ κλῆρος τῆς Τύχης ἢ ὁ κύριος αὐτοῦ ὑπὸ μὲν τοῦ Κρόνου κατὰ τετράγωνον ἢ διάμετρον δηλοῖ περὶ δραπέτου ἢ ἀφανοῦς τινος πράγματος ἢ περὶ ἐναποκλείστου καὶ ἐνόχου πεποιημένου ἢ περὶ θλίψεως καὶ στενοχωρίας· ὑπὸ δὲ τοῦ Διὸς καθ' οἷον ἂν σχῆμα μαρτυρηθῇ, δηλοῖ περὶ ἀγαθότητος καὶ ἱλαρίας ἢ ἱερέων ἢ κριτῶν ἢ δυνάστου. εἰ δὲ παρὰ Ἄρεως, περὶ πολέμου καὶ στάσεως καὶ ξενιτείας καὶ ἐπιβουλῆς καὶ ἔχθρας. ὑπὸ δὲ τοῦ Ἡλίου ἀσυμφώνως μὲν ὁρώμενος, περὶ ὀργῆς καὶ ἔχθρας καὶ θυμοῦ βασιλέως, συμφώνως δὲ περὶ εὐτυχίας καὶ δόξης προσδοκωμένης παρὰ βασιλέως· ὑπὸ δὲ τῆς Ἀφροδίτης, περὶ γυναικὸς ἢ ἀδελφῆς μικρᾶς, ἀσυμφώνως μὲν ὁρώμενος φιλονείκου, μαχίμου καὶ μοιχαλίδος καὶ

1 σχηματίζεται cod., corr.; cf. p. 265, 1 τε om. P τῆς ἰδιότητος τοῦ τόπου transp. R τῆς omis. P 2 αὐτῷ R : αὐτῶν P 2-3 ἀστέρων — αὐτοῦ] καὶ τῷ κυρίῳ αὐτοῦ R 3 τὸν ἐρωτοῦντα R καὶ ἐπὶ R γὰρ om. R 4 τι omis. R διαφέρεται R 5 δὲ om. P 5-6 καὶ λόγου καὶ γνώσεως transp. R 6 καὶ om. P οἰκοδεσποτεῖν P, corr. οἰκοδεσπότης ἐστὶ τοῦ τοιούτου τόπου R 7 δὲ om. P ἤ (prius) P : καὶ R 8 καὶ μᾶλλον εἰ R : ἢ μᾶλλον P 9 τοῦ ἡλίου om. R εἰ δὲ τὸ ε' P τέκνων] Pergit f. 45r R 10 εὐφροσύνης P : εὔρωσιων sic R ὅταν R : ὅτι P 10-11 οἰκοδεσπότης P 13 παραίτου P 14 καὶ om. P ἡ ἀφροδίτη κυριεύει P 14-15 τοῦ αὐτοῦ τόπου R : αὐτοῦ P 15 ἢ ἀνασκευῆς R : ἀνασκέψεων P 16 καὶ (prius) P : ἢ R 17 ἀξιώματα P 19 ἐὰν ante δὲ add. R 20 κατὰ — διάμετρον P : τετραγωνίζεται R cet. om. 22 ἐνοχοπεποιημένου P : ἐνοχῆς πεποιημένῳ R; corr. 24 παρὰ R : περὶ P περὶ P : ὑπὸ R 25 ξενιτῶν P 25-26 τοῦ et μὲν om. R 26-27 θύμου βασίλεως R : θεοβασιλείας P 27-28 συμφώνως δέ — βασιλέως omis. R 27 παρὰ corr. Delatte : περὶ P 28 τῆς om. P 29 φιλόνεικος μάχιμος μοῖχος καὶ στωμύλος R

στωμύλου, συμφώνως δὲ συσχηματιζόμενος, περὶ γυναικὸς χρησίμης καὶ καθαρᾶς ἢ περί τινος πράγματος χρησίμου καὶ καλοῦ. ὑπὸ δὲ τοῦ Ἑρμοῦ, περὶ γραφῶν ἢ ἀδελφῶν μικρῶν ἢ συναλλαγμάτων καὶ δόσεως καὶ λήψεως καὶ ψήφου καὶ συμβολαίου· ὑπὸ δὲ τῆς Σελήνης, περὶ μητρὸς ἢ βασιλίδος. ὕπαυγος δὲ ὢν ὁ κλῆρος τῆς Τύχης ἢ ὁ κύριος αὐτοῦ σημαίνει τὴν ἐρώτησιν εἶναι περὶ κλοπῆς ἢ ἀνδραποδισμοῦ ἢ ἀποκρύφων τινῶν.

F. 125. τκε' Ἐπιτὰ πλανητῶν εὐεργεσίαι [1].

Κρόνος δάκρυον, Ζεύς γένεσιν, Ἄρης θυμόν, Ἥλιος γέλωτα, Ἀφροδίτη ὄρεξιν, Ἑρμῆς λόγον, Σελήνη ὕπνον.

Πλοίου ἐξαρτίου τό<ποις ἀνα>κειμένα [2].

Ὡροσκόπος· τρόπις καὶ πηδάλια. τὸ β'· πλευρά. τὸ γ'· σκάφη. τὸ τέταρτον· σάνων. τὸ ε'· πρώρα. τὸ ϛ'· σχοινία. τὸ ζ'· φάρσος. τὸ η'· ἀντλία. τὸ θ'· † θέος. τὸ ι'· πρύμνα. τὸ ια'· ἱστός. τὸ ιβ'· ἀγκύρα.

Εἰς ὃ τούτων κεῖται κακοποιός, ἐκεῖνος ὁ τόπος τοῦ πλοίου πάθοι ἄν.

F. 125v. Εἰς ἀστρολάβον στίχοι.

Χάλκεός εἰμι πίναξ πολυήρατον εἰκόνα κόσμου
δεξάμενος γραφίδεσσιν, καὶ ἄτροπα νήματα Μοιρῶν
ἀτρεκέες μερόπεσσι καὶ ἀφραδίοις ἀγορεύω.

1 σχηματιζόμενος δὲ συμφώνως R 4 συμβούλου R 5 ἢ P : καὶ R τῆς Τύχης om. P

P(arisinus 10), f. 125. **A** (= Parisinus 9), cap. σξη' 11 ἐξαρτίου τῷ κειμένα P : ἐξαρτίου τῷ κειμένει A ; corr. 13 σάνων pro σανίς, tabulatum navis tectae videtur dictum φάρσος] cf. Demetrium, l. c., φάρσωμα 14 Quid sit θέος (sic codd.) nescio 15 ὃ scripsi : οἳ codd. πάθοι ἄν scripsi : πάθοιεν codd. 16 στίχοι om. P 17 Χαλκέως ἡμιπίναξ codd., corr. 18 νήματα corr. : ἤματα P : ὅματα A 19 μερόπεσι A Leg. ἀτρεκέως μερόπεσσιν καὶφραδίοις?

[1] Cf. versus Hermetis apud Stobaeum, *Ecl.*, I, 5, 14 (I, p. 77, Wachsm.) et Boll, *Die Lebensalter*, 1913, p. 38 s.

[2] Cf. excerptum Demetrii, *Cat.* VIII, 3, p. 98 n. 1 editum, ubi singulae partes navis haud cum locis duodecim sphaerae sed cum signis zodiaci connexae sunt.

EXCERPTA EX CODICE 13 (Paris. Suppl. Gr. 1241).

Theophili Edesseni capitula duo.

De Theophilo Edesseno, Thomae filio, astrologo chalifae Al-Mahdi, a. 785 mortuo, iam in *Catalogi* nostri tomo V (P. I, p. 229 ss.) egimus. Attamen interea nova testimonia innotuerunt quibus scripta et ingenium viri pro tempore suo eruditissimi et in omni genere litterarum egregie versati melius illustrantur. Nam annis 1909-1912 Alexander Vassiliev, doctissimus professor Dorpatensis, historiam arabice edidit et francogallice vertit Agapii, episcopi Hieropolitani (Menbidj) saeculi X, qui, cum bellum narraret quod Merwan II, ultimus Chalipharum Ommeiadarum, circa a. 750 p. C. n. contra Abd-Allâh-ben-Alî sustinuit vel potius non sustinuit, haec addidit (*Patrol. Orientalis*, t. VIII, fasc. 3, p. 525) : *Et Théophile l'astrologue, chez qui nous avons puisé ces renseignements, raconte :* « *Moi-même j'ai été tout le temps témoin oculaire de ces combats, j'ai noté beaucoup de choses et rien de ce qui les concerne ne m'a échappé* ». *Théophile a composé sur ce sujet plusieurs livres d'où nous avons extrait cet abrégé*... Inde apparet Theophilum amplam historiam temporis sui scripsisse, quae apud posteros diu auctoritatem obtinuit magnam. Saeculo XII enim Michael Syrus in Chronicorum libro illa usus est, quamvis « Chalcedonii » scriptoris — Theophilus erat Maronita — studium religiosum damnaverit (*Michel le Syrien*, ed. Chabot, t. II, p. 358) et saeculo XIII Abulfaragius (Bar-Hebraeus) saepius eam laudat (cf. Vassiliev, p. 525, n. 1).

Ab eodem Bar-Hebraeo accepimus aerae mundi qua inde a. saec. VIII potissimum annalium scriptores Byzantini utuntur, i. e. aera quae a mense Ianuario a. 5509 exoritur, Theophilum auctorem esse, et revera praeclarissimi viri gratia eam ceteris temporum computationibus Graeci praetulisse videntur. Tantum apud eos astrologi Edesseni scientia valuit (cf. disputatiunculam meam in *Revue de philologie*, XXXVIII, 1915, p. 260 ss.).

Theophilus in astrologicis saepius se ab « Antiquis » pendere profitetur et veterum scriptorum Graecorum excerpta multa servavit [1], quae sane compilatorum modo decurtavit et interdum immutavit (*Cat.* V, 1, pp. 213, 232). Capitula brevia

[1] De Orphei quod fertur poemate περὶ καταρχῶν, quod in usum suum Theophilus convertit, cf. Heeg, *Die angeblichen Orphischen* Ἔργα καὶ Ἡμέραι, Monaci, 1907, p. 61.

duo quae hic edimus, ideo elegimus, quod a vetusto fonte abditis rivulis usque ad serioris aevi mathematicum fluxisse videntur. Cuius remotae originis indicia quaedam in exili summario supersunt. Nam, et si astrologus christianus deorum nomina supprimere solitus est (*Cat.* V, p. 213), hic tamen bis frumentum Δημητριακὸν σπέρμα appellavit (p. 268, 2, et p. 270, 27), sicut in *Dodecaeteribus Chaldaïcis* pluribus Δημητριακὸς καρπὸς et Διονυσιακὸς καρπός memorantur (*Dodecaeteris* primi post C. n. saeculi : *Cat.* II, p. 145, 24; *Dodec. Iovis* Zoroastro tributa : *Geopon.* I, 12, 36, p. 27, 17 Beck; *Dodec.* a Palcho servata : *Cat.* V, 1, p. 173, 12; p. 174, 8). Item populorum nomina quae supersunt — multa alia praeteriisse videtur Theophilus — non saeculo VIII post Chr. conveniunt sed temporibus multo antiquioribus; cf. p. 268, 18 : Μεγάλων βασιλέων (reges Persarum ?) ἤτοι Βαβυλωνίων, cum teste Plinio VI, 132, Babylon iam « *ad solitudinem redierit* »; p. 270, 3 : Σκύθαι, cum tempore Romanorum Scythae iam dudum a Sarmatis oppressi essent). Sed eadem illa nomina in excerpto Petosiridis occurrunt de solis et lunae defectionibus, cuius argumentum cum capitibus his duobus arcte cohaeret et quod auguria praebet eiusdem farinae atque praedictiones Theophili (cf. Franciscum Boll in *Cat.* VII, p. 137, 7, 34; p. 135, 26 : Βαβυλών, p. 141, 1 : Σκύθαι. — Ἀφρική, quod p. 268, 13 legitur, sine dubio scripsit Theophilus pro Λιβύη, quod apud Petosiridem saepe recurrit). Item Theophilus (p. 270, 8), sicut Petosiris, Librae vetus nomen Χηλαί pro Ζυγός retinuit (cf. Gundel, *Realenc.* s. v. « Libra » col. 117). Totam decanorum doctrinam Aegyptii evolverunt, et dissertationem de praesagiis eclipsium in singulis decanis apud eos ortam esse veri est simile. Itaque haec Theophili capitula ad auctorem Aegyptium aevi quod dicitur Alexandrini referenda esse crediderim, sive ad Petosiridem sive ad Hermetem Trismegistum sive ad alium quendam.

F. 32. Ἀποτελέσματα τῶν ἡλιακῶν ἐκλείψεων.

Ἥλιος ἐκλείπων ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Κριοῦ σημαίνει στρατοπέδων κινήσεις, συνεχεῖς ἐπιστρατείας καὶ ὀχλοκρασίας μετὰ πολλοῦ θρύλου καὶ ἀντιλογίας καὶ ἀέρων ξηρασίας. ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ βασιλέων συνοχὴν καὶ πολλὴν ἀδημονίαν ἢ καὶ θανατώδη κίνδυνον καὶ τῶν καρπίμων φθοράν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ λύπην ἐμποιεῖ τοῖς ἀνθρώποις, σημαίνει δὲ καὶ μεγάλης γυναικὸς θάνατον καὶ κτηνῶν ὄλεθρον.

P(arisinus), f. 32ᵛ; **A**(ngelicus 29 = Romanus, 2), f. 209ᵛ; **V**(aticanus 212 = Romanus 7), f. 136ᵛ. Codices P et V arcta necessitudine connexi sunt, ita ut plerumque vel in minimis conspirent. In utroque nomina planetarum et signorum zodiaci non solitis figuris notata sed ubique litteris exscripta sunt. 2 πρώτῃ] αῃ A, qui sic deinceps numeris pleiumque utitur pro πρώτη, δευτέρα, τρίτη 3 An ὀχλοκρατίας corr ? 4 θρύλλου A 6 δεκαμοιρίᾳ om. A

Ἥλιος ἐκλείπων ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Ταύρου ἀπραγίαν δηλοῖ τῶν ἐμπόρων, τῶν δὲ Δημητριακῶν σπερμάτων εὐθηνίαν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ γυναιξὶν ἐγκύμοσι σημαίνει κίνδυνον· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ λιμὸν ὁμοῦ καὶ λοιμὸν σημαίνει.

Ἥλιος ἐκλείπων ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῶν Διδύμων ἱερῶν πραγμάτων καὶ νομίμων τινῶν ἀμέλειαν σημαίνει, βασιλέως δὲ νόσον καὶ ἀδημονίαν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ λῃστείας καὶ ἁρπαγὰς καὶ ἀνδροκτασίας δηλοῖ· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ βασιλέως θάνατον δηλοῖ καὶ ἀνωμαλίας.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Καρκίνου ἐκλείπων ταραχὰς καὶ ἀνωμαλίας ἐν κόσμῳ σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ ποταμῶν λήψεις καὶ ἀβροχίαν καὶ πολλὴν ἀκρίδα· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ τῇ Ἀρμενίᾳ καὶ τῇ Ἀφρικῇ ἀκαταστασίαν καὶ κάκωσιν.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Λέοντος βασιλέως θάνατον καὶ σιτωνίαν χαλεπήν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ λύπην πολλὴν τοῦ βασιλέως καὶ μεγιστάνων ὄλεθρον· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ πόλεμον καὶ αἰχμαλωσίαν καὶ πολιορκίαν.

Ἥλιος ἐν τῇ πρώτῃ <δεκαμοιρίᾳ> τῆς Παρθένου ἐκλείπων μεγάλων βασιλέων ἤτοι Βαβυλωνίων ὄλεθρον σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ λοιμὸν ἐν ἀνθρώποις ἤτοι λιμὸν καὶ πολλὴν ἀκαταστασίαν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ γραφεῦσι, γραμματεῦσι συμφορὰν πολλὴν ἐκ βασιλικῆς ἀγανακτήσεως.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Ζυγοῦ ἐκλείπων φθορὰν ἀέρος καὶ λοιμῶν συνοχὴν πολλήν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ μεγάλου βασιλέως θάνατον καὶ ἀκαταστασίαν καὶ λιμόν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ μεγιστάνων ἀντιλογίαν καὶ ἀντιτυπίαν καὶ χρημάτων σκορπισμόν.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Σκορπίου ἐκλείπων στρατοπέδων κακουχίαν καὶ ἀλλεπαλλήλους πολέμους καὶ αἰχμαλωσίας καὶ ἀνδροκτασίας· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ βασιλέως ὄλεθρον καὶ τοῦ

1 ὁ ἥλιος V, qui ὁ rubrum sic ante ἥλιος initio cuiusque articuli adiecit τῇ πρώτῃ δεκαμοιρίᾳ PV : τῷ πρώτῳ δεκανῷ A 2-3 τῷ β^{ω} (sc. δεκανῷ) sine δεκαμοιρίᾳ A 3 ἐγγύμοσιν A 4 δεκαμοιρίᾳ omis. A λοιμὸν PA : λιμὸν V ; cf. v. 20 5 τῷ πρώτῳ δεκανῷ A, qui deinceps fere ubique δεκανῷ pro δεκαμοιρίᾳ dicit, et plerumque post ἐν τῷ β′, ἐν τῷ γ′ praeterit δεκανῷ 5 τῶν διδύμων A : τοῦ διδύμου PV S ἀνδροκτανσίας PA : ἀνδροκτασίας sed v manu 1 superscr. V ; Theophilus fortasse ea forma usus est, cf. v. 29. 10 ἐκλείπων post ἥλιος transp. A 14 τοῦ omis. A 15 σιτωνίαν corr. : σιτωδίαν PV : σιτωδείαν A 17 πολυορκίαν V 18 δεκαμοιρίᾳ suppl. : omis. PV sed, ut solet, ἐν τῷ πρώτῳ δεκανῷ habet A ἐκλείπων omis. A 19 ἐν δὲ A 19-20 .... μοιρίᾳ (δεκα a vermibus corrosum) P 21 γραφεῖσι in γραφεῦσι corr. A 22 ἀγανακτίσεως PV 23 τοῦ omis. A ἐκλείπων omis. A 24 π. λλην P (ο corrosum) 27 τοῦ omis. A 28 καὶ αἰχμαλω καὶ αἰχμαλωσίας sic P ἀνδροκτανσίας codd. ; corr. ; cf. ad v. 8. 29 ἐν δὲ A

στρατοῦ ἀντιτυπίαν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ τυράννου ἐπιφάνειαν καὶ βασιλέως ὀλιγωρίαν.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Τοξότου ἐκλείπων, ἐναντιώματα πλεῖστα γενήσονται ἐν τοῖς ἀνθρώποις καὶ ὁμόνοια ἐν αὐτοῖς οὐκ ἔσται· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ καμήλων καὶ ἡμιόνων θάνατον σημαίνει· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ βασιλέως κίνησιν καὶ θόρυβον καὶ λιμόν.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Ὑδροχόου ἐκλείπων λύπην καὶ πένθος σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ λῃστείας καὶ ἁρπαγὰς καὶ σεισμοὺς καὶ λιμόν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ προβάτων καὶ ἀγριμαίων πολλῶν θνῆσιν.

Ἥλιος ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῶν Ἰχθύων ἐκλείπων ποταμῶν λείψεις καὶ θαλασσῶν ἀγριότητα σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ ὑψηλοῦ ἀνδρὸς θάνατον καὶ σεισμὸν ἐν ταῖς παραλίαις· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ στρατιωτῶν ἀκαταστασίαν καὶ πολλὴν ἀγριότητα καὶ ἀπανθρωπίαν.

Γ. 33. Ἀποτελέσματα τῶν σεληνιακῶν ἐκλείψεων.

Σελήνη ἐκλείπουσα ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Κριοῦ πυρετοὺς ἔσεσθαι σημαίνει καὶ ἐμπρησμοὺς κατὰ τόπους καὶ τοῦ ἀέρος ξηρασίαν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ λοιμὸν καὶ ὀξεῖς θανάτους καὶ κτηνῶν φθοράν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ γυναικῶν ἐκτρωσμούς.

Σελήνη ἐκλείπουσα ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Ταύρου τῶν ἀγρίων κτηνῶν φθορὰν σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ θάνατον βασιλίδος σημαίνει καὶ τῶν σπορίμων ἀφανισμόν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ ὄφεων καὶ τῶν λοιπῶν ἑρπετῶν ὄλεθρον.

Σελήνη ἐκλείπουσα ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῶν Διδύμων ἐχθρῶν ἐπιδρομὴν καὶ ἁρπαγὴν σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ τοῦ στρατοῦ αἰφνίδιον κίνησιν καὶ κακουχίαν δηλοῖ· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ ἀνδρὸς μεγάλου θάνατον καὶ πολλὴν ἀντιλογίαν.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Καρκίνου ἐκλείπουσα πόλεμον ἔσεσθαι σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ πολλὴν φορολογίαν καὶ ἐξαργυρισμόν· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ νόσον ἐν γυναιξὶν ὀξεῖαν καὶ θάνατον ἐσφιγμένον.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Λέοντος ἐκλείπουσα ὀξεῖαν

3 δεκαμοιρίᾳ τοῦ om. A ἐκλείπων omis. A Expectes ἥλιου .... ἐκλείποντος 7 ὑδριχόου PV : signum astr. A 12 Post δεκαμοιρίᾳ] στρατιωτῶν ἀκαταστασίαν καὶ πολλὴν ἀγριότητα καὶ ἀπανθρωπίαν add. PA, ex vv. 14-15 repetita

P(arisinus), f. 33; V(aticanus), f. 137^{v}; A(ngelicus), f. 210 17 ἐν τῷ α^{ω} δεκανῷ A hic ac deinceps, ut supra, (cf. ad p. 268, 5) 19 ... ῆ (ἐν τ corrosum) P 20 γυναικῶν bis repet. V 22 δεκαμο. ρ. ᾳ. θ. νατον (ι, ί, ά corrosa) P 26 τοῦ omis. A 30 δευτέρᾳ PA : πρώτῃ V φορογίαν P 32 ἐσφυγμένον P fors. recte.

νόσον τοῦ βασιλέως σημαίνει ἢ θάνατον προβεβηκότος μεγιστάνου· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ μετάστασιν βασιλέως ἀπὸ τόπου εἰς τόπον· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ στρατοπέδου κίνησιν καὶ Σκυθῶν ἐπιστρατείαν.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῆς Παρθένου ἐκλείπουσα τοῦ βασιλέως νόσον δηλοῖ καὶ ἐν ἀνθρώποις πολλὴν ἀντιτυπίαν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ ἀηδίαν καὶ λύπην τῶν βασιλικῶν νοταρίων· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ λοιμικὰς νόσους προμηνύει τοῖς ἀνθρώποις.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῶν Χηλῶν ἐκλείπουσα, χάλαζαν πολλὴν ἔσεσθαι σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ πάχνην εἰς φθορὰν ἀμπέλων καὶ τῶν λοιπῶν δένδρων· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ μεγάλου ἀνδρὸς θάνατον.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Σκορπίου ἐκλείπουσα βροντῶν καὶ πρηστήρων ἐστὶ σημαντική, ἐνίοτε δὲ καὶ σεισμῶν· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ ἐλαίας φθορὰν καὶ αὐχμὸν καὶ καύσωνας· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ παροίστρησιν καὶ θρῦλον καὶ ἀντιλογίαν.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Τοξότου ἐκλείπουσα λῃστείας καὶ ἁρπαγὰς δηλοῖ· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ ἵππων καὶ ἡμιόνων θάνατον· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ λοιμὸν καὶ νόσον ἐν ἀνθρώποις σημαίνει.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Αἰγόκερω ἐκλείπουσα πολλὴν ἐναντιότητα καὶ ἀντιτυπίαν ἐν τῷ βίῳ σημαίνει καὶ μεγάλου ἀνδρὸς θάνατον ἤτοι ὄλεθρον· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ στρατοπέδων ἐφόδους καὶ λῃστείας καὶ αἰχμαλωσίας· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ βασιλέως θάνατον καὶ ἀκαταστασίαν.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τοῦ Ὑδροχόου ἐκλείπουσα νοσηλεύεσθαι τὸν βασιλέα δηλοῖ· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ διασκέδασιν τῶν Δημητριακῶν σπερμάτων· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ ἀπαλλαγὴν τῶν προγεγονότων κακῶν σημαίνει.

Σελήνη ἐν τῇ πρώτῃ δεκαμοιρίᾳ τῶν Ἰχθύων ἐκλείπουσα λύπην ἱερέων σημαίνει· ἐν τῇ δευτέρᾳ δεκαμοιρίᾳ ἀνδρὸς μεγάλου θάνατον· ἐν τῇ τρίτῃ δεκαμοιρίᾳ λῃστείαν καὶ ἁρπαγὴν διὰ γῆς καὶ θαλάσσης.

8 Χηλῶν corr. : χειλῶν PV : signum Librae A 10 δενδρω. ἐντ. (ν et ῆ corrosa) P 14 καύσονας codd. 15 θρύλλον A 16 τοῦ omts. A ἐκλείπουσα om. A 20 δεκαμοιρίᾳ τοῦ omis. A αἰγοκέρου PV : signum Capricorni A ἐκλείπουσα omis. A 21 μ. γαλ. υ (ε et ο corrosa) P 22 ἤτοι PV : ἢ A 25 τοῦ omis. A ὑδριχόου PV : signum Aquarii A ἐκλείπουσα omis. A 26 δευτέρᾳ] πρώτῃ V 28 σημαίνει omis. PV 29 ἐκλείπουσα om. A

ADDENDA ET CORRIGENDA

P. 8, cod. 2, f. 21ᵛ-23, usque ad cap. Περὶ ἴριδος edita sunt pp. 137-140.

P. 15, f. 62ᵛ-68ᵛ, edita sunt pp. 141-147.

P. 17, f. 143ᵛ, editum p. 147.

P. 18, f. 156ᵛ, cap. ϙε′ editum est pp. 148-151 — cap. ϙϛ′ item p. 151 — f. 161, cap. ϙη′ item p. 152.

P. 19, v. 3, Pro ριο′ lege ρια′ — Capp. ρια′-ριβ′ edita sunt pp. 152-153.

P. 20 cap. ρκη′, editum pp. 158-159.

P. 20, in descriptione cod. 4, v. 20. De " cryptographia " huius codicis, cf. Delatte, *Anecdota Atheniensia*, I, (Bibl. Fac. philos. Leodiensis XXXVI) 1927, p. 446 s.

P. 26, v. 1, ad f. 27. Edidit Heeg *Catal.* V, 3, p. 90.

P. 29. Pro f. 66ᵛ lege 56ᵛ.

P. 32. Pro f. 66 lege 69.

P. 39, v. 3, cap. ιγ′. Cf. cod. 10 f. 56, c. ρμβ′.

Pp. 43-44, f. 140ᵛ capp. ξζ′-οβ′ edidit Delatte *op. cit.* pp. 448-450.

Pp. 45-46, ff. 143ᵛ-144ᵛ cap. πθ′-ϙδ′; has formulas omnes edidit Delatte *op. cit.* pp. 451-458.

P. 47, ff. 146-147. Post opusculum de paeonia formulae quaedam breves sequuntur, quas edidit Delatte *op. cit.* p. 459, scilicet Δακτυλομαντεία — Περὶ ἔρωτος — Φάντασμαν κατέργων μετὰ ἀρ[μάδα] — Ἕτερον ὁμοίωμαν. — F. 147. Ἀριστοτέλους πρὸς Ἑρμῆν, item edidit Delatte, p. 462.

P. 48, f. 159ᵛ, capp. ριπ′. Περὶ ἔρωτος et Ἕτερος περὶ ἔρωτος ed. Delatte *op. cit.* p. 466. — Item F. 199, formulas quattuor edidit p. 467-469.

P. 49, f. 218-224. Πρόσεχε ἀκριβῶς μου υἱὲ Ῥοβοὰμ κ. τ. λ. edidit Delatte, *op. cit.* pp. 470-477. — Lege Heeg, *Cat.* VIII, 2, p. 143.

P. 57-58, ff. 248-249, edidit Delatte, *op. cit.*, pp. 478-480.

P. 58, n. 1. De κατοπτρομαντείᾳ, cf. Delatte, *op. cit.* p. 592; Adolf Franz, *Die kirchlichen Benediktionen*, I, p. 469.

P. 59, ff. 264-265ᵛ, edidit Delatte, *op. cit.*, pp. 481-493.

P. 60, f. 271. Περὶ ὑγρομαντίας edidit Delatte p. 493, item f. 271ᵛ Ἑτέρα ὑγρομαντία ed. p. 499.

P. 61, f. 273-274. Formulas has magicas omnes edidit Delatte, *op. cit.*, pp. 500-505.

P. 62, f. 278-278ᵛ. Ἐκλογὴ δουλειῶν et Περὶ φυτεύσεως δένδρων edidit Delatte pp. 505, 507.

P. 63, ff. 315-318ᵛ. Ὀνειροκρίτης Μανουὴλ τοῦ Παλαιολόγου edidit Delatte, *op. cit.*, pp. 511-524. — Item, f. 341ᵛ, Πράξεις τοῦ Ἀπολλωνίου etc. edidit pp. 507-510.

P. 63, v. 22. de codice 9. Pro " archetypus „ lege " gemellus „.

P. 71, f. 190. Excerpta quae Graff edidit non sunt Lydi sed Scholia in Aratum, 1091, 1093 (p. 545 s. Maas); 926 (p. 512 Maas).

P. 76-77. Capp. ιγ′-κβ′ Rhetorii edita sunt omnia in appendice, pp. 221-248.

P. 77, f. 30, cap. λβ′. Editum, p. 148 ss.

P. 78, f. 31, cap. λδ′. Editum, p. 152.

P. 79, f. 36, cap. ν′. Editum, p. 153-159.

P. 87, f. 57, cap. ρμϛ′, Palchi. Editum, p. 248.

P. 89, f. 62, cap. ροε′, Valentis. Editum, p. 249.

P. 90, f. 63ᵛ, cap. ρπγ′. Editum. p. 249,

P. 92, f. 70. Pro σιαβ′ lege σιβ′.

P. 92, f. 71ᵛ, cap. σιε′, Palchi. Editum, p. 250-252.

P. 93, f. 73ᵛ, cap. σιη′ = Rhetorii p. 76, f. 22, cap. κβ′ editum in appendice p. 243. — F. 74, cap. σιθ′ partim editum est in app., p. 253. — F. 76ᵛ, cap. σκ′ editum est in app., p. 255.

P. 94, f. 79, cap. σκθ′ editum est in app., p. 237.

P. 104, f. 135ᵛ, cap. τμδ′. Editum, p. 257.

P. 105, f. 138, cap. τνγ′, Critodemi. Editum, p. 257.

P. 105, f. 139ᵛ, cap. τνε′, Palchi. Editum, p. 261,

P. 106, f. 142, cap. τξγ′. Editum, p. 263.

P. 126, ff. 32-33 Theophili edita sunt in appendice, pp. 268-270.

P. 131, v. 9. Pro συγγαμάτιον lege συγγραμμάτιον.

P. 194, l. 8. De Chaldaeis, cf. *Cat.* VII, p. 125, 3.

INDEX CODICVM

Consensus numerorum.

Parisinus 1991	= cod. 1.	Parisinus 2422	= cod. 7
„ 2107	= „ 1bis.	„ 2423	= „ 8.
„ 2229	= „ 2.	„ 2424	= „ 9.
„ 2416	= „ 2bis.	„ 2506	= „ 10.
„ 2417	= „ 3.	Parisin. suppl. 330A	= 11.
